vertice pinus dicuntur liquidas Neptuni nasse per undas Phasidos ad fluctus et fines Aeeteos, cum lecti iuvenes Argivae robora pubis, auratam optantes Colchis avertere pellem, ausi sunt vada salsa cita decurrere puppi, caerula verrentes abiegnis aequora palmis (*ἐλατίναις πλάταις*). Hor. carm. I 14, 11 Pontica pinus, silvae filia nobilis. — *ἐρετμῶσαι* erklärt Hesychius mit *κώπαις ἁρμόσαι*; es bedeutet „mit Rudern versehen" wie *πτεροῦν* „mit Federn versehen". Das Subjekt ist *τμηθεῖσα πεύκη*, wofür in Gedanken *οἱ τὴν πεύκην τεμόντες* vorschwebt.

7. *Μήδεια*: der Name ist zu *δέσποιν' ἐμή* hinzugesetzt, um den Zuschauer nicht im ungewissen zu lassen, um wen es sich handle. Ebenso wird nachher (10) mit *τήνδε γῆν Κορινθίαν* der Schauplatz der Handlung angegeben.

9. *Πελιάδας κόρας*: vgl. Einl. S. 12.

11. *ἁνδάνουσα μὲν*: die Amme verwünscht den Aufenthalt in Korinth; sie muſs also der guten Seite dieses Aufenthalts (*ἁνδάνουσα μὲν .. αὐτή τε πάντα ξυμφέρουσ' Ἰάσονι*) die schlimme Seite, den Verrat des Jason, zu welchem der Aufenthalt in Korinth den Anlaſs gegeben, entgegensetzen. Es schwebt demnach bei *ἁνδάνουσα μὲν* der Gegensatz „mit dem Gatten aber in feindseligem Verhältnisse stehend" vor. (Nachdrücklich heiſst es *αὐτή* „ihrerseits" im Gegensatz zu Jason, weil die Sprechende im Sinne hat, daſs es an Jason fehle, während Medea alles thue die Eintracht zu wahren.) Weil sich nun an *πάντα ξυμφέρουσα* der Gedanke von Hom. Od. 6, 182 *οὐ μὲν γὰρ τοῦ γε κρεῖσσον καὶ ἄρειον, ἢ ὅθ' ὁμοφρονέοντε νοήμασι οἶκον ἔχητον ἀνὴρ ἠδὲ γυνή* anschlieſst, wird jener Gegensatz an diesen Zwischensatz angeknüpft; denn *νῦν δὲ* (nunc vero) bezieht sich auf *ὅταν . . διχοστατῇ* („nun aber sind nicht Mann und Frau einträchtig, sondern es herrscht lauter Feindschaft, weil Jason treulos ist"). Ebenso Soph. O. K. 271 *πῶς ἐγὼ κακὸς φύσιν; ὅστις παθὼν μὲν ἀντέδρων, ὥστ' εἰ φρονῶν ἔπρασσον, οὐδ' ἂν ὧδ' ἐγιγνόμην κακός· νῦν δ' οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην.*

12. *πολιτῶν*: der mit *ὧν* verbundene Gen., statt dessen man zu *ἁνδάνουσα* den Dativ *πολίταις* erwartet, ist durch das Vorantreten von *φυγῇ* und die gegensätzliche Beziehung zwischen *φυγῇ* und *πολιτῶν* veranlaſst; denn die Nebenstellung *φυγῇ πολιτῶν* setzt Medea als *ἔπηλυς* der Bürgerschaft entgegen. Die Konstruktion ist: *ἁνδάνουσα (τούτοις) ὧν ἀφίκετο χθόνα φυγῇ πολιτῶν* („sie gefällt denen, in deren Land sie gekommen ist, obwohl sie der Bürgerschaft als eine fremde, landesflüchtige Person gegenübersteht"). Vgl. Soph. El. 652 *φίλοισί τε ξυνοῦσαν οἷς ξύνειμι νῦν εὐημεροῦσαν καὶ τέκνων ὅσων ἐμοὶ δύσνοια μὴ πρόσεστιν.* Wegen der Bedeutung des Gedankens vgl. zu 138.

13. *ξυμφέρουσα* bedeutet nicht *ὁμοφρονοῦσα* (Elmsley), welches die gleiche Stimmung in dem anderen voraussetzt, sondern *προσαρμόζουσα*

ἥπερ μεγίστη γίγνεται σωτηρία,
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ. 15
νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ' ἐμὴν
λέκτροις Ἰάσων βασιλικοῖς εὐνάζεται,
γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη 20
βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς
πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται
οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
τὸν πάντα συντήκουσα δακρύοις χρόνον, 25
ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς
πρόσωπον· ὡς δὲ πέτρος ἢ θαλάσσιος
κλύδων ἀκούει νουθετουμένη φίλων·
ἢν μή ποτε στρέψασα πάλλευκον δέρην 30

(Soph. Ai. 431), „sich fügend, sich schickend“. Vgl. Aristoph. Lysistr. 165 *οὐ γὰρ οὐδέποτ' εὐφρανθήσεται ἀνήρ, ἐὰν μὴ τῇ γυναικὶ συμφέρῃ.*

16. *τὰ φίλτατα*, das trauteste Verhältnis, die zartesten Bande.

19. *αἰσυμνᾷ: βασιλεύει, ἄρχει* Hesych. *αἰσυμνήτης* (*αἰσυμνῆται οἱ τοῦ αἰσίου βραβευταὶ ἑκάστῳ* Bekk. Anekd. p. 360, „Richter“) war ein Titel wie *τύραννος, ἄρχων*. Die Schreibweise *αἰσιμνᾶται* in Inschriften von Megara und seinen Kolonien (vgl. Dittenberger Syll. Inscr. Gr. p. 325 nr. 218, 1) weist auf die Ableitung von *αἴσιμος* hin.

21. *ὅρκους — δεξιᾶς*: vgl. 492, 496. — *βοᾷ μέν, ἀνακαλεῖ δὲ* Anaphora mit Wörtern gleicher Bedeutung, vgl. Hek. 982 *φίλη μὲν εἶ σύ, προσφιλὲς δέ μοι τόδε στράτευμ' Ἀχαιῶν*, Soph. O. K. 1501 *σαφὴς μὲν ἀστῶν, ἐμφανὴς δὲ τοῦ ξένου*, Äsch. Pers. 27 *φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην.* — *δεξιᾶς πίστιν μεγίστην*: vgl. Soph. O. K. 1632 *δός μοι χερὸς σῆς πίστιν ἀρθμίαν τέκνοις*, Phil. 813 *ἔμβαλλε χειρὸς πίστιν*, unten 413, 492. Manuum coniunctio *πίστις* eximie dicebatur, iam inde ab Homerico *δεξιαὶ ᾗς ἐπέπιθμεν* (Porson). — *βοᾷ ὅρκους* bedeutet: sie ruft „o Eidschwur, Eidschwur“. Vgl. *νίκην ἀλαλάξαι* Soph. Ant. 133.

25. *τὸν πάντα χρόνον ἐπεί*, *ἀφ' οὗ* vgl. Or. 77 *ἢ ἐπεὶ πρὸς Ἴλιον ἔπλευσ' οὐκ εἶδον*, Äsch. Ag. 40 *δέκατον μὲν ἔτος τόδ' ἐπεὶ . . στόλον ἦραν.* — *συντήκουσα: συντηκομένη* (d. i. eigentlich *συντήκουσα αὐτό, τὸ σῶμα*) *τὸν πάντα χρόνον* Schol. Vgl. Iph. A. 398 *ἐμὲ δὲ συντήξουσι νύκτες ἡμέραι τε δακρύοις.*

28. *ὡς πέτρος ἢ θαλάσσιος κλύδων*: vgl. Androm. 537 *τί με προσπίτνεις, ἁλίαν πέτραν ἢ κῦμα λιταῖς ὣς ἱκετεύων*; Herakl. 1397 *αὐτοῦ γενοίμην πέτρος ἀμνήμων κακῶν*, Äsch. Prom. 1033 *ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν*, Lykophr. 1452 *εἰς κῦμα κωφὸν βάζω*, Philodem. Anth. Pal. V 197 *τοῦτ' ἐβόων αἰεὶ καὶ προύλεγον, ἀλλ' ἴσα πόντῳ Ἰονίῳ μύθων ἔκλυες ἡμετέρων*, Ovid. Met. XIII 804 surdior aequoribus. Vgl. auch zu 1279.

30. *ἢν μή ποτε* s. v. a. *πλὴν ὅταν.*

αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον
καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
μετ' ἀνδρὸς ὅς σφε νῦν ἀτιμάσας ἔχει.
ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο
οἷον πατρῴας μὴ ἀπολείπεσθαι χθονός. 35
στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται.
δέδοικα δ' αὐτὴν μή τι βουλεύσῃ νέον·
[βαρεῖα γὰρ φρήν, οὐδ' ἀνέξεται κακῶς
πάσχουσ'· ἐγᾦδα τήνδε, δειμαίνω τέ νιν,
μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος, 40
σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος,
ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ
κἄπειτα μείζω συμφορὰν λάβῃ τινά.]
δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
ἔχθραν τις αὐτῇ καλλίνικον οἴσεται. 45
ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι

32. Vgl. 503.

33. *ἀτιμάσας ἔχει*: vgl. 80; diese bei Sophokles und Euripides sehr häufige Verbindung drückt die Fortdauer (*ἔχειν*) einer einmal begonnenen (aor.) Handlung aus. Oft ist sie nur eine nachdrucksvollere Umschreibung, welche vorzugsweise dem Versmafse dient (mit der Stellung am Schlufs des Trim.). Krüg. I 56, 3, 6 und II 56, 3, 8. Koch 103, 5 Anm.

35. *ἀπολείπεσθαι*: privari („verlustig gehen") wie Or. 216 *ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπολειφθεὶς φρενῶν*, Ion 861 *πῶς.. αἰδοῦς ἀπολειφθῶ*; Herakl. 440 *ἀπολείπομαι τᾶς εὐδαίμονος ἥβας*, Soph. El. 1169 *ποθῶ τοῦ σοῦ θανοῦσα μὴ ἀπολείπεσθαι τάφου*.

36. *οὐδ' ὁρῶσ' εὐφραίνεται* ist nicht müfsig nach *στυγεῖ παῖδας*, sondern hebt den Kontrast zu anderen Müttern hervor.

38. *βαρεῖα φρήν* in Gegensatz zum leichten Sinn, der leicht vergifst (*κουφόνοος*).

39. *ἐγᾦδα*: vgl. Phön. 716 *ἐγᾦδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς*.

38—43. Während 38. 39. den gleichen Gedanken wie 44. 45 enthalten, stammen 40. 41 aus 379. 380. Hier ist *δι' ἥπατος* unverständlich. Ebenso unverständlich ist *τύραννον*, welches vor *τόν τε γήμαντα* die Königstochter und Gattin des Jason bedeuten soll. Anders 877. Es darf nicht im Prologe eine Furcht geäufsert werden, die sich nachher nicht bestätigt (*τὸν γήμαντα κτάνῃ* oder die Selbstentleibung der Medea, wenn nur 41 weggelassen wird). Die wahre Furcht der Amme ist durch 36, 90 ff., 101 angezeigt vgl. 182, 113 f. 118. Obendrein stimmt 43 schlecht zu dem folgenden Gedanken.

45. *συμβαλὼν ἔχθραν* (vgl. 521, El. 906 *ἔχθραν τῷδε συμβεβλήκαμεν*, Herakleid. 459 *ἔχθραν συνάπτειν*), wie *συμβάλλειν* (*συνάπτειν*) *μάχην* (Bacch. 837). Dem entsprechend heifst es *καλλίνικον οἴσεται* (wie *ἐπινίκια, νικητήρια φέρεσθαι*). *Καλλίνικον* ist Neutr., mit Artikel Pind. Nem. 3, 18 *τὸ καλλίνικον φέρει*.

46. *ἐκ τρόχων πεπαυμένοι*: Ammon. *π. διαφ. λέξ.* p. 137 *τρόχους δὲ βαρυτόνως λέγουσι τοὺς δρόμους· ἀναγινώσκομεν γάρ, ὡς φησὶν* (*Τρύφων ἐν δευτέρᾳ περὶ Ἀττικῆς προσῳδίας*), *ἐν μὲν Ἀλόπῃ Εὐριπίδου* (fr. 105 N.) „*ὁρῶ μὲν ἀνδρῶν τόνδε γυμνάδα στόλον στείχοντ' ἄθρουντ'*

στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.

ΠΑΙΔΑΓΩΓΟΣ.

Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν — 50
ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
πῶς σοῦ μόνη Μήδεια λείπεσθαι θέλει;

ΤΡ. τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται. — 55
ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
λέξαι μολούσῃ δεῦρο δεσποίνης τύχας.

ἐκ τρόχων πεπαυμένον", ἐν δὲ Μηδείᾳ „ἀλλ' — πεπαυμένοι". Die Verbindung ἐκ τρόχων πεπαυμένοι zeigt, dafs unter τρόχοι nicht die Laufbahn, sondern die Laufübungen zu verstehen sind; ἐκ τρόχων ist mit πεπαυμένοι verbunden wie El. 1108 νεογνῶν ἐκ τόκων πεπαυμένη, Soph. El. 231 οὐδέ ποτ' ἐκ καμάτων ἀποπαύσομαι.

47. ἐννοούμενοι κακῶν im Sinne und mit der Konstruktion von φροντίζοντες κακῶν. Krüg. II § 47,11,3.

48. Vgl. Soph. Trach. 144 τὸ γὰρ νεάζον ἐν τοιοῖσδε βόσκεται χώροις, ἵν' αὐτὸ καῖον οὐ θάλπος θεοῦ οὐδ' ὄμβρος οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ, ἀλλ' ἡδοναῖς ἄμοχθον ἐξαίρει βίον. Auf einem pompejanischen Wandgemälde (Raoul-Rochette choix de peint. de Pomp. pl. XXII oder Müller Denkm. a. K. I. Tf. 73 n. 419) sind die Kinder der Medea dargestellt, wie sie harmlos unter den Augen des gedankenvoll zuschauenden Pädagogen Knöchel spielen, während ihre Mutter, die rechte Hand am Schwertgriffe, mit unheimlichem Blick unheilvollen Gedanken nachsinnt. Vgl. Einleitung S. 18.

49. Der Pädagog kommt mit den beiden Kindern der Medea herbei. Vgl. Ennius Med. fr. 2 Antíqua erilis fída custos córporis, | quid síc te extra aedis éxanimata elíminas?

51. θρεομένη (ὀλοφυρομένη): dieses Wort kommt bei Eur. noch Hipp. 363, bei Soph. niemals, bei Äschylos viermal vor.

53. σοῦ μόνη λείπεσθαι wie Hom. Il. 9, 437 πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο, φίλον τέκος, αὖθι λιποίμην οἶος;

55. κακῶς πίτνοντα, wie Äsch. Ag. 32 der Wächter am Glücke seiner Herrschaft teilnimmt: τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι τρὶς ἓξ βαλούσης (der beste Wurf im Würfelspiel) τῆσδέ μοι φρυκτωρίας, vgl. Soph. fr. 861 στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην. Zum Gedanken vgl. Hel. 1640 πρὸ δεσποτῶν τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν. — φρενῶν ἀνθάπτεται eine tragische Redensart des Euripides, vgl. 1360, Hel. 960, Rhes. 916; dazu die Parodie πλευμόνων ἀνθάψεται Arist. Ran. 474.

57. Vgl. Cic. Tusc. III 26 § 63 sunt autem alii, quos in luctu cum ipsa solitudine loqui saepe delectat, ut illa apud Ennium nutrix (fr. 3):
Cupído cepit míseram nunc me próloqui
caelo átque terrae Médeaï míserias,
Androm. 91 ἡμεῖς δ' οἷσπερ ἐγκείμεσθ' ἀεὶ θρήνοισι καὶ γόοισι καὶ δακρύμασι πρὸς αἰθέρ' ἐκτενοῦμεν.

58. μολούσῃ, als wenn nicht με

ΠΑΙ. οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
ΤΡ. ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα κοὐδέπω μεσοῖ. 60
ΠΑΙ. ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
ΤΡ. τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
ΠΑΙ. οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
ΤΡ. μή, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν· 65
σιγὴν γάρ, εἰ χρή, τῶνδε θήσομαι πέρι.
ΠΑΙ. ἤκουσά του λέγοντος οὐ δοκῶν κλύειν,
πεσσοὺς προσελθὼν ἔνθα δὴ παλαίτατοι

ὑπῆλθε, sondern μοι ὑπῆλθε voraus-ginge, vgl. Iph. A. 491 ἄλλως τέ μ' ἔλεος τῆς ταλαιπώρου κόρης εἰσῆλθε συγγένειαν ἐννοουμένῳ, Soph. O. T. 353 ἐννέπω σε .. προσαυδᾶν μήτε τούσδε μήτ' ἐμὲ ὡς ὄντι γῆς τῆσδ' ἀνοσίῳ μιάστορι. Vgl. unten zu 661.

60. ζηλῶ σε: „du bist beneidenswert“, vgl. Soph. El. 1027 ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ. — οὐδέπω μεσοῖ: Äsch. Pers. 438 εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακόν.

61. μῶρος: zu 1197. — Der Plural δεσπότας verallgemeinert (Herrschaft). Darum ist auch δεσπότης, nicht δέσποινα gebraucht. Vgl. zu 314.

62. ὡς . . . giebt den Grund an, warum der Pädagog seine Herrin eine Thörin nennt. Sie würde, meint er, an andere Dinge denken, wenn sie von der Absicht des Kreon (70 f.) etwas ahnte.

64. μετέγνων (ich bereue): zu 223. Krüger I § 53, 6, 3 und II § 53, 6, 2. Koch § 97, 2, 2.

65. Die Ausdrücke πρὸς γενείου, πρὸς γονάτων bei flehentlicher Bitte rühren von der Gewohnheit her Kinn oder Kinnbart zu streicheln und die Kniee zu umfassen. — σύνδουλον begründet die Bitte, vgl. Plaut. mil. gl. II 2, 107 ille non potuit quin sermone suo aliquem familiarium participaverit.

66. σιγὴν θήσομαι, σιγήσομαι. Das Medium wie bei λόγον ποιεῖσθαι.

68. πεσσοὺς προσελθών: man braucht nicht mit dem Schol. ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους· πεσσοὺς γὰρ νῦν τοὺς τόπους τῶν κυβευτῶν· ὡς ὄψον καὶ μύρα ἔνθα ταῦτα συνήθως ἐστί bei πεσσοὺς an den Platz zu denken, weil ἔνθα . . θάσσουσι unmittelbar mit προσελθών, nicht mit πεσσοὺς zu verbinden ist (s. v. a. „dahin, wo sie bei dem Würfelspiele sitzen“). — παλαίτατοι: vgl. Cic. de sen. c. 16 nobis senibus ex lusionibus multis talos relinquant et tesseras. — Die Peirenequelle war wegen ihres guten und gesunden Wassers berühmt (Athen. IV p. 156 E). Ihre Lage beschreibt Strabon p. 379 ὑπὸ τῇ κορυφῇ (τοῦ Ἀκροκορίνθου) τὴν Πειρήνην εἶναι συμβαίνει κρήνην, ἔκρυσιν μὲν οὐκ ἔχουσαν, μεστὴν δ' ἀεὶ διαυγοῦς καὶ ποτίμου ὕδατος, ihre Einfassung Paus. II 3, 3 κεκόσμηται δὲ ἡ πηγὴ λίθῳ λευκῷ, καὶ πεποιημένα ἐστὶν οἰκήματα σπηλαίοις κατὰ ταὐτά (künstliche Grotten), ἐξ ὧν τὸ ὕδωρ ἐς κρήνην ὕπαιθρον ῥεῖ πιεῖν τε ἡδὺ κτέ. Ἔτι γε δὴ καὶ Ἀπόλλωνος ἄγαλμα πρὸς τῇ Πειρήνῃ καὶ περίβολός ἐστιν. Frische und gute Quellen geniefsen in heifsen Ländern besondere Verehrung; daher die gewöhnlichen Attribute σεμνός, ἱερός (410), ἁγνός, εὔποτος u. dgl. Die Peirene mit ihrem trefflichen Wasser und ihrer herrlichen Umgebung war ein Glanzpunkt von Korinth; darum heifst es in dem Orakelspruche Herod. V 92 Κορίνθιοι οἳ περὶ καλὴν Πειρήνην οἰκεῖτε und wird bei Pind. Ol. 13, 61 Korinth ἄστυ Πειράνας genannt.

θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
σὺν μητρὶ μέλλοι τῆσδε κοίρανος χθονὸς
Κρέων. ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε
οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.

ΤΡ. καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;

ΠΑΙ. παλαιὰ καινῶν λείπεται κηδευμάτων,
κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.

ΤΡ. ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.

ΠΑΙ. ἀτὰρ σύ γ', οὐ γὰρ καιρὸς εἰδέναι τόδε
δέσποιναν, ἡσύχαζε καὶ σίγα λόγον.

ΤΡ. ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;
ὄλοιτο μὲν μή· δεσπότης γάρ ἐστ' ἐμός·
ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.

ΠΑΙ. τίς δ' οὐχὶ θνητῶν; ἄρτι γιγνώσκεις τόδε,
ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
οἳ μὲν δικαίως, οἳ δὲ καὶ κέρδους χάριν,

70. Man mufs sich vorstellen, dafs der Pädagog in Begleitung der Kinder dem Würfelspiele zuschaute und dafs die Anwesenheit der Kinder die Spielenden veranlafste unter sich von ihnen zu sprechen. — *γῆς Κορινθίας*: bei den Dramatikern hat der Gen., Dat. und Acc. häufig noch lokale Bedeutung (woher? wo? wohin?).

74. *καὶ ἐξανέξεται Ἰάσων παῖδας πάσχοντας ταῦτα*; ist im Sinne „Jason wird es nicht zugeben“ gesprochen; daher *εἰ καί*. — Zu *ἐξανέξεται πάσχοντας* vgl. Krüger I § 56, 6, 2.

77. Schol. *ἔξωθεν δὲ τὸ ἔτι· καὶ οὐκ ἔστιν ἐκεῖνος ἔτι φίλος.* — *τοῖσδε*: dem Hause der Medea, vor dem sie stehen.

78 f. *προσοίσομεν*, *προσδεξόμεθα*, vgl. *ἀποβάλλειν* im Sinne von „fallen lassen, verlieren“. — *κακὸν νέον παλαιῷ* eine gewöhnliche Zusammenstellung. — *ἐξηντληκέναι* ist hier nicht abgeblafste Metapher, sondern enthält eine Verglei[chung] wie Ion 928 *κακῶν γὰρ ἀρτ[ίως] ὑπεξαντλῶν φρενὶ πρύμνηθεν [...] μ' ἄλλο σῶν λόγων ὕπο.*

83 f. *ὄλοιτο μὲν μή* d. h. „ic[h wünsche] nur deshalb nicht *ὄλοιτο*, w[eil er] mein Herr ist“, vgl. Soph. Ph[il.] *ὄλοιο — μήπω, πρὶν μάθοιμ', [εἰ καὶ] πάλιν γνώμην μετοίσεις.* — *ἁλί[σκεται]* *ἐλέγχεται.*

85. *τίς δ' οὐχὶ θνητῶν* m[it der] im flg. V. angegebenen Bes[chrän]kung. — *ἄρτι γ. τόδε*; „ers[t jetzt] machst du diese Entdeckung[?“]

86. *τοῦ πέλας*: der Singul[ar in] Beziehung auf den betreffende[n Ein]zelnen. Sonst gewöhnlich *οἱ* [...] Der V. wird vom Schol. als s[prich]wörtlich bezeichnet, vgl. T[er.] Andr. 426 verum íllud ver[bumst] vólgo quod dicí solet, | omn[is sibi] malle mélius esse quam álte[ri].

87 f. *οἳ μὲν . . χάριν* schlief[st sich] an die in der Frage liegend[e Aus]sage an. *οἳ μὲν — οἳ δὲ* nac[h πᾶς] *τις* wie nach *πάντες*, vgl.

εἰ τούσδε γ' εὐνῆς εἵνεκ' οὐ στέργει πατήρ;

P. ἴτ', εὖ γὰρ ἔσται, δωμάτων ἔσω, τέκνα.
σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε 90
καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
τοῖσδ', ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα.
ἐχθρούς γε μέντοι, μὴ φίλους, δράσειέ τι. 95

ΜΗΔΕΙΑ.

Ἰώ,
δύστανος ἐγὼ μελέα τε πόνων,

:rakl. 78 *πᾶς ἀνίστησιν πόδα, ὡς* ιὸς *πατρῷον προσπεσούμενοι γόνυ.* *.καίως* gerechte Selbstliebe (fr. 452 *εἶνο γὰρ πέπονθ' ὅπερ πάντες* *οτοί· φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ* *σχύνομαι*, Soph. O. K. 409 *τίς γὰρ* *θ' ὃς οὐχ αὑτῷ φίλος*; Men. mon. 7 *οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτῷ* *λος*), *κέρδους χάριν* Eigennutz und ;oismus. *εἰ τούσδε γε* d. i. *εἴ γε* *ύσδε*: der vorliegende Fall wird s Unterlage der aufgestellten Be- .uptung *καὶ κέρδους χάριν* ange- hrt („wenn dem so ist, wie es ist, mufs auch Eigennutz der Beweg- und sein können"). Übrigens ist *μὲν δικαίως* nur um des Gegen- tzes willen beigefügt, während :r Hauptgedanke in den Worten *δὲ καὶ κέρδους χάριν* liegt, welche .s Benehmen des Jason als ein ederträchtiges bezeichnen. Vgl. .ch Herakleid. 2 *ὁ μὲν δίκαιος* *ῖς πέλας πέφυκ' ἀνήρ, ὁ δ' εἰς τὸ* *ρδος λῆμ' ἔχων ἀνειμένον πόλει* *ἄχρηστος καὶ συναλλάσσειν βαρύς*, 758 *κακοῖς τὸ κέρδος τῆς δίκης* *:έρτερον*. — *οὐ* nach *εἰ*, weil die hatsache der Verschmähung (*οὐ* *έργειν*) als Beweis genommen rd. Vgl. Ion 347 *εἰ δ' οὐκέτ'* *ἐι, τίνι τρόπῳ διεφθάρη*; fr. 83 *τοῦ τεκόντος οὐδὲν ἐντρέπῃ πα-* *ός*, Soph. Ai. 1266 *φεῦ· τοῦ θα-* *ντος ὡς ταχεῖά τις βροτοῖς χάρις* *ρρεῖ, εἰ σοῦ γ' ὅδ' ἀνὴρ οὐδ'* *ἰ σμικρὸν λόγον ἔτ' ἴσχει μνή-* *ν*, Krüger I § 67, 4, 1.

90 ff. Wie in Prologen späterer Stücke der Verlauf der Handlung ausdrücklich und ausführlich vorhergesagt wird, so giebt der Dichter hier eine leise Andeutung des Ausgangs. — *πέλαζε* nach dichterischem, 101 nach gewöhnlichem Sprachgebrauche. — *ταυρουμένην*: vgl. zu 188. Die Vergleichung mit dem eigentümlich wilden Blicke des Stieres, wenn er den Kopf beugend zum Stofse ausholt, erweckt zugleich die Vorstellung eines grofsen dunklen Auges. *τοῖσδε*: „gegen diese". Der Dativ steht wie bei *ὀργίζεσθαι, θυμοῦσθαι* (Krüger I § 48, 8).

94. Wie neben *ἐμπεσεῖν εἴς τινα* oder *τινὶ* auch *ἐμπεσεῖν τινα* vorkommt (Soph. O. K. 942 *αὐτοὺς ἐμπέσοι ζῆλος*, Eur. Iph. A. 808 *ἐμπέπτωκ' ἔρως τῆσδε στρατείας Ἑλλάδα*), so ist hier *κατασκήπτειν τινὰ* für *τινὶ* oder *εἴς τινα* gesagt. Dem Accus. scheint der Gedanke an die Wirkung des einschlagenden Blitzes (*καθελεῖν*) zu Grunde zu liegen („bevor er — der Groll — wie ein Wetterstrahl niederfahrend einen zu Boden schmettert"). Zu dem Gedanken vgl. 171 f.

96. Medeas Klagen hört man aus dem Innern des Hauses heraus. Der Pädagog geht ins Haus, die Kinder, welche von der Amme liebkost werden, folgen erst bei 105.

96 f. *δύστανος*: dem höheren Pathos entsprechen die dorischen For-

ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;
ΤΡ. τόδ' ἐκεῖνο, φίλοι παῖδες· μήτηρ
κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
σπεύδετε θᾶσσον δώματος εἴσω 100
καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς
μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσεσθ'
ἄγριον ἦθος στυγεράν τε φύσιν
φρενὸς αὐθάδους.
ἴτε νῦν χωρεῖθ' ὡς τάχος εἴσω. 105
δῆλον δ' ἀχῆς ἐξαιρόμενον
νέφος οἰμωγῆς θ' ὡς τάχ' ἀνάξει
μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
μεγαλόσπλαγχνος δυσκατάπαυστος
ψυχὴ δηχθεῖσα κακοῖσιν; 110
ΜΗ. αἰαῖ,
ἔπαθον τλάμων ἔπαθον μεγάλων
ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι
παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
σὺν πατρί, καὶ πᾶς δόμος ἔρροι.

men in den Anapästen der Medea, während der gewöhnliche Ton in den Anapästen der Amme nur die gewöhnlichen Formen verträgt. — *μελέα πόνων*: vgl. 1028 und Krüger § 47, 3, 2. — *πῶς ἂν*: eine bei den Tragikern häufige Form des Wunsches besonders mit der 1. Pers., vgl. z. B. Herakl. 487 *πῶς ἂν ὡς ξουθόπτερος μέλισσα συνενέγκαιμ' ἂν ἐκ πάντων γόους, εἰς ἓν δ' ἐνεγκοῦσ' ἀθρόον ἀποδοίην δάκρυ*, aber auch mit der zweiten (Hipp. 345 *πῶς ἂν σύ μοι λέξειας*, Soph. Phil. 794) und dritten Person (unten 173, Iph. T. 627 *πῶς ἄν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν;*).

98. *τόδ' ἐκεῖνο* oder *τοῦτ' ἐκεῖνο* (Or. 804, *τοῦτ' ἔστ' ἐκεῖνο* Hel. 622) ist eine Redensart der Umgangssprache, häufig bei Aristophanes (Ach. 41, Lysistr. 240 *τοῦτ' ἐκεῖν' οὑγὼ 'λεγον*).

99. *κινεῖ* „rührt auf“. Der stille Groll liegt ruhig. Vgl. Soph. O. K. 510 *τὸ πάλαι κείμενον ἤδη κακὸν ἐπεγείρειν*. Zu *κινεῖ — κινεῖ δὲ* vgl. 131, 960. — *κινεῖ κραδίαν, κινεῖ δὲ χόλον* statt des einfachen *κινεῖ κραδίας χόλον*. Vgl. zu 131.

103. *στυγερὰν φύσιν* vgl. 113, 147 (Grauen erregend, unheimlich).

105. Es bedarf der wiederholten Ermahnung der Amme, weil auch die Kinder, von den Rufen der Mutter erschreckt, ein unheimliches Bangen vor der Nähe der Mutter fühlen.

106 f. „Die sich erhebende Wolke der Klage und des Weherufs wird bald plötzlich emporsteigen in heftigerer Leidenschaft“. Gleichnis (Gewitter, das eben aufsteigt und auf einmal losbricht) und eigentlicher Ausdruck sind vermischt.

110. *δηχθεῖσα κακοῖσιν* ist dem *δυσκατάπαυστος* untergeordnet (sie vergißt schwer, wenn sie durch Unbilden gekränkt ist).

112. *ὦ κατάρατοι παῖδες*: Medea erblickt die ins Haus tretenden Kinder.

114. *πᾶς δόμος ἔρροι*: Phön. 624 *ἐρρέτω πρόπας δόμος*.

ΤΡ. ἰώ μοί μοι, ἰὼ τλήμων. 115
τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
μετέχουσι; τί τοῦδ' ἔχθεις; οἴμοι,
τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα καί πως
ὀλίγ' ἀρχόμενοι πολλὰ κρατοῦντες 120
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
κρεῖσσον· ἐμοὶ γοῦν ἐπὶ μὴ μεγάλοις
ὀχυρῶς εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν 125
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ

118. *οἴμοι, ὡς* (Begründung des Weherufs) *ὑπεραλγῶ* („bin in schmerzlichster Besorgnis") *μή τι πάθητε.*

119—130. Philosophatur nutrix more Euripideo, sed valde *ἀπροσδιονύσως*, ut mihi quidem videtur. Quid enim cum Medeae conditione commune habent quae de regum animo dicit? (Elmsley). Gleiche Reflexionen im Munde einer Amme s. Hipp. 250ff. Über solche bei jeder Gelegenheit angebrachte philosophische Excurse spottet Aristophanes Frö. 948 ff. 954 ff. Den Übergang vermittelt der Gedanke *δυσκατάπαυστος ψυχὴ δηχθεῖσα κακοῖσιν*, welcher verallgemeinert wird. Zu dem allgemeinen Gedanken vgl. Hom. Il. 1, 80 *κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι· εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ, ἀλλά τε καὶ μετόπισθεν ἔχει κότον, ὄφρα τελέσσῃ ἐν στήθεσσιν ἑοῖσι*, 2,196 *θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος βασιλῆος.*

119. *τυράννων*: zu diesen gehört auch Medea als Tochter eines Königs.

120. *ἀρχόμενοι—κρατοῦντες*: vgl. Hel. 1638 *ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν.*

122f. *τὸ γὰρ κτέ.*: *γὰρ* begründet den im Vorausgehenden enthaltenen Gedanken verkehrter Ordnung und untauglicher Zustände; ebenso 573, Phön. 1602 *πέμπει δέ με μαστὸν ποθοῦντα θηρσὶν ἄθλιον βοράν· οὐ σῳζόμεσθα* („wo ich leider am Leben blieb"). *Ταρτάρου γὰρ ὤφελεν ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα.* Ähnlich begründet *γὰρ* Hom. Il. 2, 119 den in den vorhergehenden Worten liegenden Unwillen. — *ἐπ' ἴσοισιν*: wie in einer Demokratie, deren Hauptmerkmal die *ἰσότης* ist. Die Grundlage des *ἴσον* ist das *μέτριον* (vgl. Hipp. 264 *τὸ λίαν ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν· καὶ ξυμφήσουσι σοφοί μοι*); denn eine glänzende Stellung überhebt den Menschen und verleitet ihn sich seinen Neigungen und Begierden rückhaltlos hinzugeben. *ἐπὶ μὴ μεγάλοις* für *ἐπὶ οὐ μεγάλοις* unter Einfluſs des Optativs wie 1122 unter Einwirkung des Imperativs.

125f. Zu *τῶν γὰρ μετρίων πρῶτα μὲν τοὔνομα νικᾷ* ist noch, um den Gegensatz zu *χρῆσθαι* schärfer hervorzuheben, *εἰπεῖν* hinzugesetzt. Eine ähnliche Wendung Herod. III 80 *πλῆθος δὲ ἄρχον πρῶτα μὲν οὔνομα πάντων κάλλιστον, ἰσονομίην, δεύτερα δὲ κτέ.* Statt eines *δεύτερα δὲ* oder *ἔπειτα* folgt hier anakoluthisch *τὲ* wie unten 430, 1101, Hipp. 996 *ἐπίσταμαι γὰρ πρῶτα μὲν θεοὺς σέβειν φίλοις τε χρῆσθαι*, Herakleid. 337 *πρῶτα μὲν σκοποὺς πέμψω πρὸς αὐτὸν . . μάντεις τ' ἀθροίσας θύσομαι*, Ion 401 *πρῶτον μὲν ὁ θεὸς . . χαιρέτω σύ τ', ὦ γύναι*, Or. 22, Soph. Phil. 1425. Zum Gedanken vgl. Pind. Pyth. 11, 53 *τῶν γὰρ ἂμ πόλιν εὑρίσκων*

λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
οὐδένα καιρὸν δύναται θνητοῖς·
μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
δαίμων, οἴκοις ἀπέδωκεν. 130

ΧΟΡΟΣ.

Ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν proodos.
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,

τὰ μέσα μάσσονι σὺν ὄλβῳ τεθαλότα, μέμφομ' αἶσαν τυραννίδων, Äsch. Eum. 532 *παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν*, zum Ausdruck des Gedankens Cic. Phil. II 44, 113 et nomen pacis dulce est et ipsa res salutaris.

128. *οὐδένα καιρὸν δύναται* „bedeutet keinen Segen". Wie sich aus der Bedeutung „gelegene Zeit" der Begriff „Heil" entwickelt, zeigt Hel. 479 *καιρὸν γὰρ οὐδέν' ἦλθες· ἢν δὲ δεσπότης λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται*, Androm. 131 *τί σοι καιρὸς ἀτυζομένᾳ δέμας αἰκέλιον καταλείβειν δεσποτῶν ἀνάγκαις*; 484 *ἃ δύνασις ἀνά τε μέλαθρα κατά τε πόλιας, ὁπόταν εὑρεῖν θέλωσι καιρόν*, Tro. 744 *τὸ δ' ἐσθλὸν οὐκ εἰς καιρὸν ἦλθέ σοι πατρός*. Zu *δύναται* vgl. Thuk. I 141 *τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη*.

129. *μείζους*, weil man um so tiefer fällt, je höher man steht. Vgl. fr. 974 *τῶν ἄγαν γὰρ ἅπτεται θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀφεὶς ἐᾷ*, Herod. VII 10 *ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτ' ἀποσκήπτει τὰ βέλεα (ὁ θεός)· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν*, Horat. carm. II 10 saepius ventis agitatur ingens pinus et celsae graviore casu decidunt turres, feriuntque summos fulgura montes. Als Beweggrund der Gottheit erscheint hier nicht Neid und Eifersucht auf hohes Glück (*φθόνος*) wie bei Herodot, sondern Zorn (über Hochmut oder andere Schuld).

130. *ἀπέδωκεν*: Krüger I § 53, 10, 2. Koch § 97, 1, 2. Subjekt bleibt *τὰ ὑπερβάλλοντα*.

131—211. Parodos, in welcher sich die vorhergehende Handlung, mit neuem Interesse bereichert, fortsetzt. Deshalb löst sich die strenge Form einer selbständigen Parodos (ohne Teilnahme von Bühnenpersonen) in eine Art Kommos auf, ein Wechselrecitativ von Chor und Schauspieler, wie es bei Äschylos im Prometheus vorliegt. In herkömmlicher Weise motiviert der auftretende Chor sein Erscheinen (*παροδικὰ ὅτε λέγει ὁ χορὸς δι' ἣν αἰτίαν πάρεστιν*). Die Frauen haben die Klagerufe der Medea gehört und kommen herbei, weil ihnen das Schicksal der Medea nicht gleichgültig ist. Ähnlich ist die Parodos des Äschyl. Prometh., wo die Okeaniden durch den Ton der Hammerschläge von der Fesselung des Prometheus herbeigerufen werden, und das Auftreten des Chors in den Troades motiviert (154 διὰ γὰρ μελάθρων ἄιον οἴκτους οὓς οἰκτίζῃ). — Die *προῳδὸς* scheint der Chorführer, Strophe und Antistrophe die beiden Halbchorführer, die *ἐπῳδὸς* der Gesamtchor vorzutragen.

131. *ἔκλυον φωνάν, ἔκλυον δὲ βοάν* statt des einfachen *ἔκλυον φωνάν τε καὶ βοάν* wie 1071, Alk. 108 *ἔθιγες ψυχᾶς, ἔθιγες δὲ φρενῶν*, Phön. 563 und bei Homer Il. 17, 279 *Αἴας ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο*. — Ennius Med. fr. 4 fluctus verborum aures aucupant.

133. *οὐδέ πω ἤπιος*: vgl. 59. Der Chor kennt natürlich bereits die Ursache von Medeas Klagen (vgl.

λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω μελάθρου γόον ἔκλυον· 135
οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται.

ΤΡ. οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων, 140
ἡ δ' ἐν θαλάμοις τήκει βιοτὴν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένη φρένα μύθοις.

ΜΗ. αἰαῖ,
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος; 145
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν
βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟ. ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, stroph.

155 ff.) und die Art, wie dieselbe die Treulosigkeit des Jason aufnimmt.

135. *ἐπ' ἀμφιπύλου*: richtig erklärt der Schol. *ἐπὶ τοῦ ἀμφιπύλου οὖσα τουτέστιν ἐπὶ τοῦ πυλῶνος ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου.* Um zu erklären, daſs sie die Rufe der noch im Hause weilenden Medea haben hören können, bemerken die Frauen, daſs sie an der Thüre ihrer Wohnungen gestanden und auf das Geschrei der Medea hin sich gesammelt haben, vgl. Herod. V 92 *ἑστεῶτες ἐπὶ τῶν θυρέων.* — Zu *ἔσω μελάθρου γόον* (d. i. *γόον ἔσω μελάθρου στεναζόμενον*) *ἔκλυον* vgl. Hipp. 234 *νῦν δ' αὖ ψαμάθοις ἐπ' ἀκυμάντοις πώλων ἔρασαι.*

136. *συνήδομαι ἄλγεσι* (*ἥδομαι σὺν ἄλγεσι*): vgl. *τί τοῖσδε συνήδῃ;* Hipp. 1286, *κακοῖσι σοῖσι συγκάμνων* Alk. 614, *θανόντι γ' οὐδαμῶς συνήδομαι* Rhes. 958, *καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς* Hel. 727, *συνασχαλᾶν κακοῖς, συγκάμνειν πήμασι* Äsch. Prom. 171, 259, 430, *ἡμῖν τοῖς ξυναλγοῦσιν τύχαις* Soph. Ai. 283, *οὔτε ταῖς παρελθούσαις ὁδοῖς ξυνήδομαί σου* O. K. 1397. „Und nicht freue ich mich über die Leiden des Hauses" ist s. v. a. „tiefes Mitleid fühle ich mit den Leiden des Hauses".

138. *φίλον κέκρανται* (effectum est, das homerische *τέτυκται*), trotz der fremden Herkunft, vgl. 11f. Der Dichter hebt das nachdrücklich hervor, um die Teilnahme des Chors für Medea zu begründen.

139 f. *τάδε*: was dazu gehört, um von *δόμοι* (einem Hauswesen, einer Familie) reden zu können. — *τυράννων*: vgl. 594.

142. *οὐδενὸς οὐδέν*: vgl. Kykl. 120 *ἀκούει δ' οὐδὲν οὐδεὶς οὐδενός.* Zu dem Gedanken vgl. 28 f.

144—147 = 111—114. *διά μου κεφαλᾶς* wie Hipp. 1352, vgl. Krüg. I § 47, 9, 14. — *φλὸξ οὐρανία*: vgl. Suppl. 829 *κατά με πέδον γᾶς ἕλοι, διὰ δὲ θύελλα σπάσαι, πυρός τε φλογμὸς ὁ Διὸς ἐν κάρᾳ πέσοι.* — *ζῆν κέρδος*: vgl. 798, Äsch. Prom. 773 *τί δῆτ' ἐμοὶ ζῆν κέρδος;* — *καταλυσαίμην βιοτάν, προλιποῦσα* (nämlich *αὐτήν*): vgl. Suppl. 1004 *ἐς Ἅιδαν καταλύσουσ' ἔμμοχθον βίοτον αἰῶνός τε πόνους*, fr. 994 *εἰ δὲ θανεῖν θέμις, ὧδε θανεῖν καλὸν εἰς ἀρετὰν καταλυσαμένους βίον.* Mit Beziehung auf die Bedeutung „ausspannen d. i. rasten, einkehren" bedeutet *καταλύσασθαι βίον* „sein Leben ausruhen".

148. Vgl. Hipp. 601 *ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί, οἵων λόγων ἄρρητον εἰσήκουσ' ὕπα*, 672 *ἐτύχομεν δίκας, ἰὼ γᾶ καὶ φῶς*, Or. 1496 *ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ.*

ἀχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα; 150
τίς σοί ποτε τᾶς ἀπλάτου
κοίτας ἔρος, ὦ ματαία;
σπεύδει θανάτου τελευτά·
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις 155
καινὰ λέχη σεβίζει,
κοινὸν τόδε μὴ χαράσσου·
Ζεύς σοι τάδε συνδικήσει. μὴ λίαν
τάκου δυρομένα σὸν εὐνάταν.

ΜΗ. *ὦ μεγάλε Ζεῦ καὶ Θέμι πότνια,* 160
λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
ἐνδησαμένα τὸν κατάρατον
πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'
αὐτοῖς μελάθροις διακναιομένους,
οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν. 165

151 f. *τᾶς ἀπλάτου κοίτας*: das Lager, dem man sich nicht nähern, das von uns fern bleiben soll, ist das Lager des Todes, die Gruft der Toten. Vgl. Soph. Ai. 606 *τὸν ἀπότροπον ἀίδηλον Ἅιδαν.* — *ἔρος*: *πόθος*. Dieselbe Form Soph. El. 197 *ἔρος ὁ κτείνας*. Öfters findet sich der Acc. *ἔρον* bei Eur. (Hipp. 337, 449, Iph. T. 1172).

153. *σπεύδει*: durch die Stellung ist der Gegensatz gehoben: das Herbeisehnen des Todes ist unnötig; er kommt in Eile auch ungebeten. Zu *θανάτου τελευτά* vgl. 920. — *μηδέν*: vgl. 47, Androm. 88 *μηδὲν τοῦτ' ὀνειδίσῃς ἐμοί*, 463 *μηδὲν τόδ' αὔχει.*

157. *κοινὸν τόδε*, nimm dir das, was ja immer wieder vorkommt und nicht dir allein begegnet, nicht allzu sehr zu Herzen. Vgl. zu 1017 f. — *χαράσσου*: vgl. Herod. VII 1 *καὶ πρὶν μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι διὰ τὴν ἐς Σάρδις ἐσβολήν*, Hesych. *κεχαραγμένος· ὠργισμένος.*

158. Hesych. *σύνδικοι· οἱ ἐν ταῖς δίκαις βοηθοί.*—*λίαν* hat hier ι lang.

160. *Ζεῦ καὶ Θέμι*: vgl. 208. Diesen beiden Gottheiten lag die Ahndung des Meineids ob.

163 f. *νύμφαν τε*: vgl. zu 503. — *ἐσίδοιμι*: qui malum alicui precantur, maximam delectationem se percepturos putant, si id suis oculis videant evenire, itaque cupiunt esse *αὐτόπται* (Bergler). Vgl. Herakl. 731 *εἶμι δ' ὡς ἴδω νεκρὸν πίπτοντ'· ἔχει γὰρ ἡδονὰς θνήσκων ἀνὴρ ἐχθρὸς τίνων τε τῶν δεδραμένων δίκην*, Soph. Trach. 1055 *ὣς ὧδ' ἐπίδοιμι πεσοῦσαν αὔτως, ὧδ' αὔτως ὥς μ' ὤλεσεν*, Äsch. Cho. 266 *οὓς ἴδοιμ' ἐγώ ποτε φθίνοντας ἐν κηκῖδι πισσήρει φλογός*, Soph. Phil. 1113 *ἰδοίμαν δέ νιν .. τὸν ἴσον χρόνον ἐμὰς λαχόντ' ἀνίας.* — *αὐτοῖς μελάθροις*: Krüger I § 48, 15, 9. Koch § 85, 7, 3.

165. *πρόσθεν*: Graeci, ubi de pacto et foedere sermo est, illud maxime urgere solent, si quis prior fidem solverit, quo facto alter, si idem facit, iure agere videtur. Sic iam Homerus Il. 3, 299 *ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν* (Hermann). Vgl. ebd. 351 *Ζεῦ ἄνα,*

ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
αἰσχρῶς τὸν ἐμὸν κτείνασα κάσιν.

ΤΡ. κλύεθ' οἷα λέγει κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
θνητοῖς ταμίας νενόμισται; 170
οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
δέσποινα χόλον καταπαύσει.

ΧΟ. πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν antistr.
ἔλθοι μύθων τ' αὐδαθέντων
δέξαιτ' ὀμφάν, 175
εἴ πως βαρύθυμον ὀργὰν
καὶ λῆμα φρενῶν μεθείη;
μήτοι τό γ' ἐμὸν πρόθυμον
φίλοισιν ἀπέστω.
ἀλλὰ βᾶσά νιν 180
δεῦρο πόρευσον οἴκων
ἔξω, φίλα γὰρ τάδ' αὔδα,

δὸς τίσασθαι ὅ με πρότερος κάκ' ἔοργεν. Darum pflegte vor Gericht die eine Partei τὸ ὑπάρξαι τῆς ἀδικίας auf die andere zu schieben. Vgl. 1372.

166. ἀπενάσθην: vgl. τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην πατρίδος καὶ ἐμᾶς Iph. T. 175, κατενάσθη Phön. 207.

169 f. εὐκταίαν: „bei den εὐχαὶ der Eidschwüre zum Zeugen angerufen", unten 208 ὁρκίαν Θέμιν. Vgl. Äsch. Sept. 710 πατρὸς εὐκταίαν Ἐρινύν (bei den Verwünschungen angerufen). — ὅρκων ταμίας: Hipp. 1025 νῦν δ' ὅρκιόν σοι Ζῆνα καὶ πέδον χθονὸς ὄμνυμι. Der Ausdruck nach Hom. Il. 4, 84 Ζεὺς ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.

173. πῶς ἄν: zu 97. — ἐς ὄψιν: vgl. 775, Iph. T. 1212 μηδέν' εἰς ὄψιν πελάζειν.

176. εἰ: Krüger I § 65, 1, 10. Koch § 110, 3. — εἰ μεθείη, nicht ἐὰν μεθῇ, weil der Satz dem übergeordneten entsprechend gedacht ist (Assimilation der Modi). — βαρύθυμος ὀργή: eine bei den Tragikern sehr gewöhnliche Fülle des Ausdrucks, vgl. ὑπέρφρονα φρονήματα Herakleid. 387, κακόγλωσσος βοή Hek. 661, λέσχη κακόστομος Iph. A. 1001, κακοτυχεῖς πότμοι, τύχα βαρύποτμος, ξυμφορὰ βαρύποτμος Hipp. 668, 826, Phön. 1345, ἀπόδικοι δίκαι Herakl. 889, λευκότριχες πλόκαμοι Bakch. 112, καλλίπηχυς βραχίων Tro. 1194, κῶλον ταχύπουν Bakch. 169 u. a. Vgl. zu 200, 204, 624, 673.

178. τό γ' ἐμὸν πρόθυμον (d. i. τὸ ἐμὸν πρόθυμόν γε, der gute Wille im Gegensatz zum Vermögen): vgl. Iph. T. 1023 οὐκ ἂν δύναιο, τὸ δὲ πρόθυμον ᾔνεσα, Iph. A. 1270 τὸ κείνου βουλόμενον, Krüger I § 43, 4, 28.

182. φίλα τάδ' αὔδα, „gieb uns hier als freundlich gesinnt an", „sage, sie möge sich nicht scheuen, denn wir seien ihr wohlwollend gesinnt". Der Satz steht parenthetisch und das folgende σπεύσασα schliefst sich an βᾶσα πόρευσον an. Zu τάδε vgl. Äsch. Pers. 1 τάδε μὲν Περσῶν τῶν οἰχομένων

σπεύσασά τι πρὶν κακῶσαι τοὺς εἴσω·
πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.
ΤΡ. *δράσω τάδ'· ἀτὰρ φόβος εἰ πείσω*
δέσποιναν ἐμήν· 185
μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
καίτοι τοκάδος δέργμα λεαίνης
ἀποταυροῦται δμωσίν, ὅταν τις
μῦθον προφέρων πέλας ὁρμηθῇ.
σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς 190
τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις,
οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις

Ελλάδ' ἐς αἶαν πιστὰ καλεῖται. Vgl. 867.

183. *τὶ* gehört zu *κακῶσαι.* Zu *πρὶν κακῶσαι* ist aus dem vorhergehenden *αὐτὴν* (*νὶν*) als Subjekt zu ergänzen.

184. *μεγάλως ὁρμᾶται:* „drängt gewaltig" und treibt zur That. S. Anh.

184 f. *φόβος εἰ* (ob) *πείσω:* Herakleid. 791 *φόβος γὰρ εἴ μοι ζῶσιν οὓς ἐγὼ θέλω.* Anders Androm. 61 *φόβῳ μὲν εἴ* (wenn) *τις δεσποτῶν αἰσθήσεται,* Soph. Trach. 176 *φόβῳ ταρβοῦσαν, εἴ με χρὴ μένειν πάντων ἀρίστου φωτὸς ἐστερημένην,* Tacit. ann. I 11 patres quibus unus metus, si intellegere viderentur. Vgl. unten 928, dazu Androm. 409 *ἐν τῷδε μὲν γὰρ ἐλπίς, εἰ σωθήσεται,* Krüger I § 65, 1, 9. — *ἐπιδώσω* „freiwillig, gerne geben" (diese Bedeutung entwickelt sich aus der Bedeutung „dreingeben, zu dem was man schuldig ist hinzu-, also ohne Schuldigkeit geben").

187 f. *τοκάδος δέργμα λεαίνης:* Kallim. *εἰς Δημ.* 51 *τὰν δ' ἄρ' ὑποβλέψας χαλεπώτερον ἠὲ κυναγὸν ὤρεσιν ἐν Τμαρίοισιν ὑποβλέπει ἄνδρα λέαινα ὠμοτόκος, τᾶς φαντὶ πέλειν βλοσυρώτατον ὄμμα.* — *ἀποταυροῦται:* vgl. 92; dort steht es seiner ursprünglichen Bedeutung näher als hier, wo es die allgemeine Bedeutung des wilden Blicks annimmt (*δέργμα λεαίνης*). — *δέργμα λεαίνης* steht hier (anders als 92 *ὄμμα,* welches äufseres Objekt ist) als inneres Objekt nach Analogie von *δέργμα δέρκεσθαι.*

190 ff. Eine Reflexion, über welche gilt, was oben zu 119 ff. bemerkt ist. Über diesen Gedanken des Dichters urteilt Plutarch einmal zustimmend (*γαμ. παραγγ.* p. 143 C) *ὀρθῶς ὁ Εὐριπίδης αἰτιᾶται τοὺς τῇ λύρᾳ χρωμένους παρ' οἶνον. ἔδει γὰρ ἐπὶ τὰς ὀργὰς καὶ τὰ πένθη μᾶλλον τὴν μουσικὴν παρακαλεῖν ἢ προσεκλύειν τοὺς ἐν ταῖς ἡδοναῖς ὄντας,* ein anderes Mal absprechend (Sympos. VII p. 710 E): *ὡς τά γε ἄλλα φίλος ὢν Εὐριπίδης ἐμὲ γοῦν οὐ πέπεικε περὶ μουσικῆς νομοθετῶν, ὡς ἐπὶ τὰ πένθη καὶ τὰς βαρυφροσύνας μετακομιστέας οὔσης· ἔδει μὲν γὰρ ὥσπερ ἰατρὸν ἐφεστάναι δεῖ νοσοῦσιν ἐσπουδακότα καὶ νήφοντα τὸν λόγον, τὰς δὲ τοιαύτας ἡδονὰς τῷ Διονύσῳ καταμίξαντας ἐν παιδιᾶς μέρει τίθεσθαι.* Vgl. auch das *πάρεργον* über die Musik im Kaufmann von Venedig Akt V Sc. I. — *οὐδέν τι* „gar nicht besonders". Vgl. Krüger I § 51, 16, 5.

192 f. *οἵτινες* qualitativ wie 1130, 1234, 1280, 1325 („solche die"). Krüger I § 51, 8, 2. — *θαλίαις:* so wurde z. B. das Fest der Apaturien mit einem Hymnus auf Hephästos gefeiert. Bei den Opfern an heiligen Festen wurde besonders die Libation (*σπονδαί*) mit Gesang begleitet. — *εἰλαπίναις* — *δείπνοις:* schon zu Homers Zeiten gehören

ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις
ηὕροντ' ὄλβου τερπνὰς ἀκοάς·
στυγίους δὲ βροτῶν οὐδεὶς λύπας 195
ηὕρετο μούσῃ καὶ πολυχόρδοις
ᾠδαῖς παύειν, ἐξ ὧν θάνατοι
δειναί τε τύχαι σφάλλουσι δόμους.
καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι 200
δαῖτες, τί μάτην τείνουσι βοήν;
τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟ. *ἀχὰν ἄιον πολύστονον γόων,* epodos.
λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ 205

Gesang und Tanz zu den Freuden des Mahles (Od. 1, 152). In der späteren Zeit fehlten Flöten- und Citherspielerinnen selten bei den Symposien, wie die Kunstdarstellungen solcher zeigen. Platon (Prot. p. 347 D) urteilt darüber: *ὅπου καλοὶ κἀγαθοὶ συμπόται καὶ πεπαιδευμένοι εἰσίν, οὐκ ἂν ἴδοις οὔτ' αὐλητρίδας οὔτ' ὀρχηστρίδας οὔτε ψαλτρίας, ἀλλ' αὐτοὺς αὑτοῖς ἱκανοὺς ὄντας συνεῖναι ἄνευ τῶν λήρων τε καὶ παιδιῶν τούτων διὰ τῆς αὑτῶν φωνῆς.* — *παρὰ δείπνοις* wie *παρ' οἴνῳ*.

194. *ὄλβου..ἀκοάς*, als musikalische Genüsse (*ἀκροάματα*) der Wohlhabenden. Vgl. Iph. T. 454 *τερπνῶν ὕμνων ἀπόλαυσιν, κοινὰν χάριν ὄλβῳ*.

197. *θάνατοι*: exitus violenti (Seidler). Vgl. Hel. 428 *τοιγάρ σέ ποτ' οὐρανίδαι πέμψουσιν θανάτοις*.

200. *εὔδειπνοι δαῖτες*, eine bei Euripides besonders häufige Redeweise, welche Fülle und Eigentümlichkeit des Ausdrucks bezweckt, vgl. *κάματος εὐκάματος* Bakch. 66, *νάρθηξ εὔθυρσος* ebd. 1157, *εὔπαις γόνος* Herakl. 689, Iph. T. 1234, *εὐπήχεις χεῖρες* Hipp. 200, *λιμένες εὔορμοι* Tro. 124, bei Äschylos *βίοτος εὐαίων*, bei Sophokles *βίοτος εὐαίων, εὐάμερον φάος, κλέος εὐκλεέστερον*. Vgl. zu 176.

201. *τείνουσι βοήν*: vgl. Äsch. Pers. 577 *τεῖνε δὲ δυσβάυκτον βοᾶτιν τάλαιναν αὐδάν*: *τείνουσι* in Gegensatz zu der kunstlos und in leichter Natürlichkeit hinfliefsenden Rede.

204. Während die Amme geht, um Medea herauszurufen, singt der Chor noch ein Lied, welches sein Mitgefühl mit Medeas Leiden zu erkennen giebt. — *ἀχὰν πολύστονον γόων*: *πολύστονον* statt eines einfachen *πολλήν*. Vgl. 481. So werden allgemeine Begriffe wie *πολύς, πᾶς, κοινός*, Zahlwörter, *νέος, παλαιός* in dichterischer Weise anschaulich gemacht, vgl. *στεῖχε κοινόφρων πατρί* Ion 577, *κοινόπλουν στέλλοι σκάφος* fr. 852, 5, *πύλας ἑπταστόμους* Suppl. 401, *κώπῃ χιλιοναύτῃς* Iph. T. 140, *τετραβάμοσι χαλαῖς* Phön. 808, *δίπτυχον δῶρον* Ion 1010, unten 1136, *τετράμορφοι ὧραι* fr. 943, *τριζύγοις θεαῖσι* Hel. 357, *δίγονα σώματα* El. 1179, *τέκνα τρίγονα* Herakl. 1023, Ion 496, *αἰσχύνᾳ νεοθαλεῖ* Iph. A. 188, unten 1348, 1366, 421.

205 f. *λιγυρὰ μογερὰ ἄχεα βοᾷ τὸν προδόταν*: *βοᾶν* geht mit dem Acc. des inneren Objekts in die Bedeutung eines transitiven Verbs

τὸν ἐν λέχει προδόταν κακόνυμφον·
θεοκλυτεῖ δ' ἄδικα παθοῦσα
τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον 210
δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
πόντου κλῇδ' ἀπέραντον.

ΜΗΔΕΙΑ.

Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
μή μοί τι μέμφησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν 215

über (λιγέως θρηνεῖ), von welcher der Acc. τὸν προδόταν abhängt, vgl. Tro. 335 βοᾶτε τὸν ὑμέναιον . . νύμφαν, Or. 1383 ὥς σ' ὀλόμενον στένω ἁρμάτειον μέλος, Iph. A. 1468 ἐπευφημήσατε παιᾶνα Διὸς κόρην Ἄρτεμιν, Herakl. 910 ἀνακαλεῖς τίνα με τίνα βοάν; Phön. 293 γονυπετεῖς ἕδρας προσπίτνω σ' ἄναξ, Ion 495 ἵνα χοροὺς στείβουσι ποδοῖν στάδια χλοερά, Soph. El. 123 τάκεις ὧδ' ἀκόρεστον οἰμωγὰν τὸν Ἀγαμέμνονα, Trach. 50 πανδάκρυτ' ὀδύρματα τὴν Ἡράκλειον ἔξοδον γοωμένην. — τὸν ἐν λέχει προδόταν: vgl. Soph. Ai. 1091 μὴ — ἐν θανοῦσιν ὑβριστὴς γένῃ, Antig. 661 ἐν τοῖς γὰρ οἰκείοισιν ὅστις ἔστ' ἀνὴρ χρηστός. Die Worte τὸν . . κακόνυμφον sind gleichsam die eigenen Worte der Medea. Darum steht der Artikel wie bei καλεῖν, ἀποκαλεῖν (ἀνακαλοῦντες τὸν προδότην Xenoph. Anab. VI 6, 7, vgl. zu Bakch. 725). — Zu κακόνυμφον vgl. 990, κακόγαμβρον Rhes. 260, Πάρις αἰνόγαμος Hel. 1120, Πάριν τὸν αἰνόλεκτρον Äsch. Ag. 713.

207. θεοκλυτεῖν: wie παιδοφιλεῖν σε (Theogn. 1318), vgl. βουκολεῖν (ἵππους), βουθυτεῖν (ὗν), χειρονομεῖν (τοῖς σκέλεσι), aedificare (navem).

209. ἥ νιν ἔβασεν: τοῖς ὅρκοις πεισθεῖσα ἠκολούθησεν Ἰάσονι. Schol. Vgl. Iph. A. 580 ὅθι σε κρίσις ἔμηνε θεᾶν, ἅ σ' Ἑλλάδα πέμπει, 884 ὁ δὲ γάμος τίν' εἶχε πρόφασιν ἥ μ' ἐκόμισεν ἐκ δόμων;

210. ἀντίπορον, ἀντίπορθμον: in engerem Sinne („gegenüberliegend, durch eine Meerenge getrennt") Iph. A. 149 Ἄρτεμιν (in Aulis) Χαλκίδος ἀντίπορον, Äsch. Pers. 67 εἰς ἀντίπορον γείτονα χώραν . . πορθμὸν ἀμείψας Ἀθαμαντίδος Ἕλλας, hier in allgemeinerer Bedeutung („durch ein Meer geschieden").

211f. δι' ἅλα νύχιον wird erklärt „propter nocturnam fugam" (Pflugk), und Elmsley vergleicht Rhes. 53 νυκτέρῳ πλάτῃ λαθόντες ὄμμα τοὐμὸν ἀρεῖσθαι φυγὴν μέλλουσι. Zu πόντου κλῇδα bemerkt der Schol.: λέγει δὲ τὸ στενόν, ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὠνόμασε παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου πόντου. Es ist aber nicht der Bosporus, sondern der Hellespont gemeint, wie das Epitheton ἀπέραντον zeigt; denn damit wird das Homerische (Il. 24, 545) Ἑλλήσποντος· ἀπείρων berücksichtigt. Zum Hellespont aber gelangten sie durch die μυχία Προποντίς, wie das Meer Äsch. Pers. 880 bezeichnet wird. Darum ist wahrscheinlich nach dieser Stelle auch hier δι' ἅλα μύχιον zu schreiben. — ἁλμυράν: vgl. zu 660 καθαράν. Das Epitheton erinnert an das Homerische ἁλμυρὸν ὕδωρ (Od. 5, 100).

214—409 erstes Epeisodion (1. Scene: Medea und Κορυφαῖος. 2. Scene: Kreon und Medea. 3. Scene: Medea). — Zu den allgemeinen Gedanken der Rede vgl. Schol. zu Hipp. 373 οἰκείως τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται.

215. μέμφησθε: der Konjunktiv wie unten 1304, weil die Handlung

σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
τοὺς ἐν θυραίοις, οἱ δ' ἀφ' ἡσύχου ποδὸς
δύσνοιαν ἐκτήσαντο καὶ ῥαθυμίαν.
δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν,
ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς 220

des Nebensatzes als selbständige Forderung hingestellt wird. Vgl. Hipp. 1299, Phön. 362, Rhes. 51, El. 95 ἀφικόμην πρὸς τέρμονας γῆς τῆσδ', ἵν' ἐκβάλω ποδὶ ἄλλην ἐπ' αἶαν, Iph. A. 1536.

216ff. σεμνοὺς γεγῶτας: σεμνὸς steht hier in demselben Sinne wie Hipp. 93, wo als Gebrauch der Menschen angegeben wird μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον und wo es weiter heifst: τίς δ' οὐ σεμνὸς ἀχθεινὸς βροτῶν; während ἐν εὐπροσηγόροισίν τις χάρις sei. Hiernach ist σεμνόν der Gegensatz des affabile, das stolze und in sich verschlossene Wesen, welches nur für sich Achtung und Interesse hat. Σεμνοὺς γεγῶτας heifst wie nachher ῥαθυμίαν ἐκτήσαντο „die in den Ruf solchen Wesens gekommen sind" (Schol. ὑπερηφάνους νομιζομένους). Medea sagt: „Ich habe eurer Aufforderung Folge geleistet, um mir nicht den Vorwurf stolzen Wesens zuzuziehen; denn viele sind als stolz verschrieen worden, die einen, die sich öffentlich zeigten, weil man ihrer Miene Stolz abzusehen glaubte (ἀπ' ὀμμάτων), die anderen, weil sie sich nicht in der Öffentlichkeit sehen liefsen, sondern sich in ihrem Hause zurückhielten (ἀφ' ἡσύχου ποδός). Die Menschen sind eben zu Vorurteilen geneigt und lassen sich von dem äufseren Scheine bestimmen. Wenn aber schon ein Bürger, so mufs ganz besonders ein Fremder sich hüten Anstofs zu geben und auch jeden Schein, der zu einer schlimmen Nachrede führen könnte, meiden." — τοὺς ἐν θυραίοις ist Apposition zu τοὺς μέν. — οἱ δὲ .. ἐκτήσαντο: an die Stelle eines zweiten Participialsatzes (τοὺς δὲ .. κτησαμένους) tritt wie häufig bei Dichtern ein selbständiger Satz. — ἐκτήσαντο: vgl. 297, Iph. T. 676 καὶ δειλίαν γὰρ καὶ κάκην κεκτήσομαι, Hel. 271 καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν, ὅστις τὰ μὴ προσόντα κέκτηται κακά, 1506 δύσκλειαν ἂν ἐκτήσατο, fr. 238, Soph. Ant. 924 τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην, Ai. 75 οὐ .. δειλίαν ἀρῇ. — ῥαθυμία bezeichnet hier die Sorglosigkeit, insofern sie sich in Rücksichtslosigkeit und Gleichgültigkeit für die Interessen und Wünsche des anderen zu erkennen giebt, trifft also in der Beziehung, welche hier in Betracht kommt, mit dem σεμνόν zusammen, ebenso wie αὐθάδης 223. Wenn Medea im Hause geblieben wäre und keine Rücksicht auf den Wunsch der Frauen genommen hätte, so würde sie sich ἀφ' ἡσύχου ποδὸς ῥαθυμίαν zugezogen haben. In 224 unterscheidet ἀμαθίας ὕπο den thatsächlichen Fehler von der blofsen Nachrede. — Die Stelle ist in merkwürdiger Weise von Ennius mifsverstanden worden, welcher übersetzt (fr. 5): Quaé Corinthi arcem áltam habetis, mátronae opulentae, óptumates, | ⟨né mihi vitio vós vortatis, á patria quod ábsiem⟩ |. Múlti suam rem béne gessere et públicam patriá procul, | múlti, qui domi aétatem agerent, própter ea sunt ínprobati.

219. Vgl. Lys. 16, 19 οὐκ ἄξιον ἀπ' ὄψεως, ὦ βουλή, οὔτε φιλεῖν οὔτε μισεῖν οὐδένα, ἀλλ' ἐκ τῶν ἔργων σκοπεῖν.

220. Zu ὅστις nach βροτῶν vgl. oben 87, Androm. 180 στέργουσιν ὅστις μὴ κακῶς οἰκεῖν θέλει, Hek. 359 δεσποτῶν ὠμῶν φρένας τύχοιμ' ἂν ὅστις ἀργύρου μ' ὠνήσεται, fr. 784 ἐν τοῖσι μώροις τοῦτ' ἐγὼ κρίνω βροτῶν, ὅστις .. παισὶ μὴ φρονοῦσιν εὖ ᾖ καὶ πολίταις παραδίδωσ' ἐξουσίαν, El. 934, Hel. 942, fragm. 334, Soph. Ai. 760, El. 1506, Hom. Il.

στυγεῖ δεδορκώς, οὐδὲν ἠδικημένος.
χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
οὐδ᾽ ἀστὸν ᾔνεσ᾽ ὅστις αὐθάδης γεγὼς
πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
ἐμοὶ δ᾽ ἄελπτον πρᾶγμα προσπεσὸν τόδε 225
ψυχὴν διέφθαρκ᾽· οἴχομαι δὲ καὶ βίου
χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκω καλῶς,
κάκιστος ἀνδρῶν ἐκβέβηχ᾽ οὑμὸς πόσις.
πάντων δ᾽ ὅσ᾽ ἔστ᾽ ἔμψυχα καὶ γνώμην ἔχει 230
γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν·
ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ

19, 260 *ἀνθρώπους τίνυνται ὅ τίς κ᾽ ἐπίορκον ὀμόσσῃ.* Darin liegt eine Genauigkeit des Gedankens, weil solche Relativsätze aus der Allgemeinheit einzelne Fälle herausheben.

222 f. *ξένον μέν* steht in Gegensatz zu dem folgenden *οὐδ᾽ ἀστόν.* Euripides giebt gern gelegentlich den Metöken Vorschriften eines freundlichen und zuvorkommenden Verhaltens gegen die Bürgerschaft, vgl. Suppl. 891 *ἐκτραφεὶς δ᾽ ἐκεῖ πρῶτον μὲν ὡς χρὴ τοὺς μετοικοῦντας ξένους λυπηρὸς οὐκ ἦν οὐδ᾽ ἐπίφθονος πόλει οὐδ᾽ ἐξεριστὴς τῶν λόγων, ὅθεν βαρὺς μάλιστ᾽ ἂν εἴη δημότης τε καὶ ξένος.* Vgl. auch Soph. O. K. 12 *μανθάνειν γὰρ ἥκομεν ξένοι πρὸς ἀστῶν, ἂν δ᾽ ἀκούσωμεν τελεῖν*, 171 *ἀστοῖς ἴσα χρὴ μελετᾶν*, Bias bei Diog. L. I 85 *ἀστοῖσιν ἄρεσκε πᾶσιν, ἐν πόλει αἴκε μένῃς· πλείστων γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος πολλάκι δὴ βλαβερὰν ἐξέλαμψεν ἄταν.* — *ᾔνεσα* wie 707. Die häufigen Aoriste *ᾔνεσα, ἐπῄνεσα, παρῄνεσα, ἀπέπτυσα, ᾤμωξα* (791), *μετέγνων* (64), *ἀπώμοσα* drücken das momentane Hervortreten einer inneren Erregung oder Stimmung aus.

225. *ἐμοί*: nach der Einleitung kommt Medea auf sich zu sprechen. *Τόδε*: so kann Medea die allgemein bekannte Sache bezeichnen.

226. *ψυχὴν διέφθαρκε*: „hat mir das Herz gebrochen“.

228. *γιγνώσκω καλῶς* setzt Medea wehmütig hinzu voll Schamgefühl, daſs sie um eines solchen Mannes willen alles verlassen und alles geopfert habe, Vaterland, Eltern, Freunde, selbst den Bruder. Um so mehr kommt den Zuhörern zum Bewuſstsein, welchen Kontrast sie mit *ἐν ᾧ γὰρ ἦν μοι πάντα* hervorheben will. Vgl. 935. Zu *ἐν ᾧ — πάντα* vgl. Ter. Ad. 331 nostram omnium vitam, in quo nostrae spes opesque omnes sitae.

230. Durch die folgende Betrachtung sucht Medea die Teilnahme der Frauen von Korinth für sich zu gewinnen, indem sie ihr Anliegen als eine das ganze Frauengeschlecht angehende Sache darstellt. Zum Gedanken vgl. den Prolog der Goetheschen Iphigenie.

231. *φυτόν* „Geschöpf“. Vgl. Hipp. 630 *ὁ δ᾽ αὖ λαβὼν ἀτηρὸν εἰς δόμους φυτόν.*

232. *χρημάτων ὑπερβολῇ: χρημάτων λέγει τῶν εἰς τὴν φερνήν· τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς κατ᾽ αὐτὸν συνηθείας λέγει· οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ᾽ ἐκ τῶν ἐναντίων αὐτοὶ ἐδίδοσαν. καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι* (wo, wissen wir nicht; der gleiche Anachronismus findet sich Hipp. 628 *προσθεὶς γὰρ ὁ σπείρας τε καὶ θρέψας πατὴρ φερνὰς ἀπῴκισ᾽, ὡς ἀπαλλαχθῇ κακοῦ*) *καὶ Ὅμηρος* (Il. 11, 244) *„πρῶθ᾽ ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι᾽ ὑπέστη“.*

πόσιν πρίασθαι — δεσπότην τε σώματος
λαβεῖν· ἐκείνου γὰρ τόδ' ἄλγιον κακόν·
κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν 235
ἢ χρηστόν. οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
γυναιξίν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην
δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
ὅτῳ μάλιστα χαρίσεται συνευνέτῃ. 240
κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
πόσις ξυνοικῇ μὴ βίᾳ φέρων ζυγόν,
ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χάρις.
ἀνὴρ δ', ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολὼν ἔπαυσε καρδίαν ἄσης, 245
ἢ πρὸς φίλον τιν' ἢ πρὸς ἥλικας τραπείς·
ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.

234. *ἐκείνου*: nämlich *τοῦ χρημάτων ὑπερβολῇ πόσιν πρίασθαι.* Vgl. Aristoph. Ekkl. 1053 *τοῦτο γὰρ ἐκείνου τὸ κακὸν ἐξωλέστερον.*

235. *ἀγών*, discrimen, „es gilt". Vgl. Herod. VII 11 *ἀλλὰ ποιέειν ἢ παθέειν* („Hammer oder Amboſs sein") *προκέεται ἀγών*, Thuk. II 89 *ὁ δὲ ἀγὼν μέγας ὑμῖν, ἢ καταλῦσαι Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω καταστῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης*, Cic. Phil. III 29 res in id discrimen adducta est utrum ille rei publicae poenas luat an nos serviamus.

236. *οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαί*: respexisse videtur ius atticum, difficile ac morosum mulieribus *ἀπόλειψιν* molientibus (Pflugk). Vgl. das Bruchstück des Komikers Anaxandrides: *χαλεπή, λέγω σοι, καὶ προσάντης, ὦ τέκνον, ὁδός ἐστιν ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε παρ' ἀνδρός, εἴ τίς ἐστι κοσμία γυνή. ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.* — *ἀνήνασθαι πόσιν* giebt eine nähere Erklärung zu *ἀπαλλαγαί.*

240. *ὅτῳ χαρίσεται* ist von *μάντιν εἶναι* abhängig.

241f. *εὖ* gehört zu *ἐκπονουμέναισιν* (nachgestellt wie z. B. Äsch. Ag. 365 *θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι*). Die nähere Bestimmung zu *ξυνοικῇ* liegt in *μὴ βίᾳ φέρων ζυγόν* (d. h. eine Frau muſs es schon als höchstes Lebensglück betrachten, wenn nur der Mann nicht unzufrieden und ungebärdig ist): „schon einem rauhen Gatten zu gehorchen ist Pflicht und Trost". Der Ausdruck gründet sich auf die Vorstellung, daſs von zwei Zugtieren, die in einem Joche zusammengespannt sind, das eine widerspenstig ist und das Joch abzuschütteln sucht, vgl. Asch. Pers. 197 *ἣ δ' ἐσφάδᾳζε καὶ χεροῖν ἔντη δίφρου διασπαράσσει καὶ ξυναρπάζει βίᾳ ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον.*

243f. *ζηλωτὸς αἰών* wie Or. 602 *γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν, μακάριος αἰών.* — *θανεῖν χάρις* wie Äsch. Ag. 555 *θανεῖν πολλὴ χάρις.* Der Tod erscheint dann als Wohlthat. — *τοῖς ἔνδον* zu *τὰ ἔνδον.*

245. *ἔπαυσε*: der Aor. bezeichnet das momentane Eintreten („weg ist der Überdruſs").

246. *πρὸς ἥλικας*: *ἧλιξ ἥλικα τέρπει.*

247. *πρὸς μίαν ψυχήν*: Antipater bei Stob. flor. 65 p. 417 (III p. 13 ed. Mein.) *αἱ μὲν γὰρ ἄλλαι κοινωνίαι καὶ ἑτέρας τινὰς ἀποστροφὰς*

λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί,
κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα 250
στῆναι θέλοιμ' ἂν μᾶλλον ἢ τεκεῖν ἅπαξ.
ἀλλ' οὐ γὰρ αὑτὸς πρὸς σὲ κἄμ' ἥκει λόγος·
σοὶ μὲν πόλις γάρ ἐστι καὶ πατρὸς δόμοι
βίου τ' ὄνησις καὶ φίλων συνουσία,
ἐγὼ δ' ἔρημος ἄπολις οὖσ' ὑβρίζομαι 255
πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελησμένη,
οὐ μητέρ', οὐκ ἀδελφόν, οὐχὶ συγγενῆ
μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
τοσόνδε δ' οὖν σου τυγχάνειν βουλήσομαι,
ἤν μοι πόρος τις μηχανή τ' ἐξευρεθῇ 260
πόσιν δίκην τῶνδ' ἀντιτίσασθαι κακῶν

ἔχουσι, ταύτας δ' „ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν", τὴν τοῦ ἀνδρός (μίαν in Gegensatz zu den vielen Freunden und Altersgenossen des Mannes).

248. Vgl. Äsch. Cho. 920 τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω (γυναῖκας).

250. λέγουσι — κακῶς φρονοῦντες: vgl. Herakleid. 55 ἦ που καθῆσθαι τήνδ' ἕδραν καλὴν δοκεῖς . . κακῶς φρονῶν. — παρ' ἀσπίδα: Phön. 1001 στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσιν θανεῖν, Krüger § 68, 36, 1 u. 3. Vgl. Ennius Med. fr. 6 . . . nam tér sub armis málim vitam cérnere | quám semel modo párere. — τρὶς ἂν..θέλοιμ' ἄν: bei Wiederholung des ἂν steht das eine bei dem Verbum, das andere bei einem bedeutungsvollen Worte der Aussage.

252. ἀλλὰ γάρ: Medea bricht ihre Rede ab, weil den korinthischen Frauen für ihre Klagen das rechte Verständnis fehle. Damit will sie den Unterschied, der zwischen ihr und jenen besteht, nur nachdrücklich geltend machen. — ἥκει: cadit. Vgl. Hel. 558 αὑτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.

256. βάρβαρος gebrauchen in den griechischen Dramen z. B. in den Persern des Äschylos die fremden Personen in gleicher Weise wie die Griechen. λελησμένη: δεινοπαθοῦσα δὲ τοῦτο λέγει ὡς προσδοκήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα, δεινότερα δὲ αἰχμαλώτου πάσχουσα, d. h. λελησμένη ist ein Ausdruck leidenschaftlicher Auffassung.

258. μεθορμίσασθαι: μετά, welches in solchen Zusammensetzungen einen Wechsel des Ortes anzeigt, bezieht sich auf τῆσδε συμφορᾶς, wie der Schol. erklärt καταφυγοῦσαν μεταβληθῆναι τῆς συμφορᾶς.

259. δ' οὖν d. i. obwohl du mein Unglück nicht ganz zu fassen vermagst. Vgl. Krüger I § 69, 52, 2. — βουλήσομαι: auf das Tempus hat der Gedanke an die zukünftige Erfüllung des Wunsches eingewirkt, vgl. Soph. O. K. 1289 καὶ ταῦτ' ἀφ' ὑμῶν, ὦ ξένοι, βουλήσομαι κυρεῖν ἐμοί, O. T. 1276 τοὐμὸν δ' ἐγὼ κεὶ σμικρόν ἐστι σπέρμ' ἰδεῖν βουλήσομαι, Ai. 680 ἔς τε τὸν φίλον τοσαῦθ' ὑπουργῶν ὠφελεῖν βουλήσομαι, Pind. Ol. 7, 20 ἐθελήσω ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον, auch Ovid Ibis 129 certe ego quae voveo superos motura putabo, Plaut. mil. glor. 395 narrandum ego istuc militi censebo, Cic. pro Mur. § 58 und 63, de off. I 25, 88. Hor. epist. I 14, 44.

261. δίκην ist an die Stelle des

[τὸν δόντα τ' αὐτῷ θυγατέρ' ἥ τ' ἐγήματο],
σιγᾶν. γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ, 265
οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
ΧΟ. δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν,
Μήδεια. πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
στείχοντα, καινῶν ἄγγελον βουλευμάτων. 270

ΚΡΕΩΝ.

Σὲ τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν

allgemeineren τίσιν (τίσιν ἀντιτίσασθαι) getreten, vgl. Herakleid. 852 κἀποτίσασθαι δίκην ἐχθρούς.

262. ἥ τ' ἐγήματο: vgl. 515, Alk. 338 στυγῶν μὲν ἥ μ' ἔτικτεν, Hipp. 1158 σοὶ καὶ πολίταις οἵ τ' Ἀθηναίων πόλιν ναίουσι, Phön. 1054 ἀγάμεθ', ὃς ἐπὶ θάνατον οἴχεται γᾶς ὑπὲρ πατρῴας, El. 32 ὃς μὲν γῆς ἀπηλλάχθη φυγὰς Ἀγαμέμνονος παῖς, χρυσὸν εἴφ' ὃς ἂν κτάνῃ. Der Vers, welcher hier zuviel angiebt, ist um des Verses 288 willen hinzugefügt.

263. σιγᾶν: damit motiviert der Dichter die spätere Unthätigkeit des Chors, welcher Medea in Ausführung ihrer Rachepläne gegen Jason und das königliche Haus ruhig gewähren läfst. Vgl. Hor. d. art. poet. 200. Eine gleiche Motivierung ist Hipp. 712, Iph. T. 1052, Ion 666, El. 273, Iph. A. 542 nötig. In den Choeph. des Äschylos und der Elektra des Sophokles steht der Chor so sehr auf Seite der handelnden Personen, dafs eine solche Motivierung überflüssig ist, wenn auch in der El. des Soph. (469) der Chor um Stillschweigen gebeten wird. Bei Euripides hat der Chor im Bau des Dramas nicht konstruktive, sondern nur mehr dekorative Bedeutung und wird blofs dem Herkommen zu Liebe beibehalten, vgl. Aristot. περὶ ποιητ. c. 18 (p. 1456 a) τὸν χορὸν ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν καὶ μόριον εἶναι τοῦ ὅλου καὶ συναγωνίζεσθαι μὴ ὡς παρ' Εὐριπίδῃ ἀλλ' ὡς παρὰ Σοφοκλεῖ und Schol. zu Aristoph. Ach. 443 οὗτος (ὁ Εὐριπίδης) γὰρ εἰσάγει τοὺς χοροὺς οὐ τὰ ἀκόλουθα φθεγγομένους τῇ ὑποθέσει, ἀλλ' ἱστορίας τινὰς ἀπαγγέλλοντας ὡς ἐν ταῖς Φοινίσσαις (unser Stück trifft dieser Tadel nicht, wohl aber der folgende) οὔτε ἐμπαθῶς ἀντιλαμβανομένους τῶν ἀδικηθέντων, ἀλλὰ μεταξὺ ἀντιπίπτοντας. — γάρ: es folgt der Grund zu δίκην ἀντιτίσασθαι.

264. D. i. κακὴ εἰς ἀλκὴν καὶ κακὴ σίδηρον εἰσορᾶν. Vgl. fr. 276 γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα, τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.

269. In ὁρῶ δὲ καὶ („aber auch") dient καὶ um die Aufmerksamkeit auf etwas anderes zu richten. Vgl. Or. 1549 ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας. Gewöhnlich steht bei der Ankündigung einer neuen Person καὶ μὴν (καὶ μὴν ὁρῶ σὸν πατέρα γηραιῷ ποδὶ στείχοντα Alk. 611).

270. καινῶν ἄγγελον βουλευμάτων: vgl. Tro. 707 τίν' αὖ δέδορκα τόνδ' Ἀχαϊκὸν λάτριν στείχοντα καινῶν ἄγγελον βουλευμάτων;

271. Vgl. Iph. A. 855 ὦ ξέν', Αἰακοῦ γένεθλον, μεῖνον, ὦ σέ τοι

φυγάδα λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
καὶ μή τι μέλλειν· ὡς ἐγὼ βραβεὺς λόγου
τοῦδ' εἰμὶ κοὐκ ἄπειμι πρὸς δόμους πάλιν, 275
πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.

ΜΗ. αἰαῖ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι·
ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως, 280
τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;

ΚΡ. δέδοικά σ', οὐδὲν δεῖ παραμπίσχειν λόγους,
μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
συμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις, 285

λέγω, Äsch. Prom. 976 σὲ τὸν σοφιστήν, τὸν πικρῶς ὑπέρπικρον . . λέγω, Soph. Ai. 1226 σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι τλῆναι . . χανεῖν, σέ τοι τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω. — εἶπον: vgl. Or. 1567 οὗτος σύ, κλήθρων τῶνδε μὴ ψαύσῃς χερί, Μενέλαον εἶπον, Suppl. 1171. Zunächst bedeutet εἶπον „dir gilt mein Wort"; dann aber ist davon im Sinne von κελεύω der Infinitiv περᾶν abhängig („dir will ich es gesagt haben").

274. ὡς (vgl. 322) . . κοὐκ ἄπειμι: dadurch wird ein ἀγὼν λόγων eingeleitet.

277. πανώλης ἀπόλλυμαι: zu Bakch. 1096 und oben zu 204.

278. ἐξιᾶσι πάντα κάλων: οἱ ἐχθροὶ οὐριοδρομοῦσι καθ' ἡμῶν (Schol.), „die Feinde fahren mit vollen Segeln gegen mich an, so dafs ich mich nicht aus der Bedrängnis (ἄτης) retten und ans Land flüchten kann." Vgl. Herakl. 837 ἔλαυνε, κίνει, φόνιον ἐξίει κάλων, Aristoph. Ri. 756 νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ. Bei Sturm wurden die Segel hinaufgezogen (ἄκροις ἱστίοις, ἄκροισι λαίφους κρασπέδοις 524), bei günstigem Winde ganz herabgelassen und durch Anspannen der Taue (κάλων τείνειν, ἐκτείνειν) straff gemacht (πλήρεσιν ἱστίοις, ὅλοις ἱστίοις). Vgl. Aristoph. Frö. 998 μὴ πρὸς ὀργὴν ἀντιλέξεις, ἀλλὰ συστείλας ἄκροισι χρώμενος τοῖς ἱστίοις εἶτα μᾶλλον μᾶλλον ἄξεις καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον καὶ καθεστηκὸς λάβῃς.

279. εὐπρόσοιστος von προσφέρεσθαι „sich nach etwas hin bewegen", „anlanden", vgl. Iph. A. 288 νήσους ναυβάταις ἀπροσφόρους („Inseln an welchen Schiffer nicht landen können"), Äsch. Pers. 92 ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατός („unnahbar"), also εὐπρ. ἔκβασις „eine Landungsstelle der man sich mit dem Schiffe leicht nähern kann".

280. ὅμως wird gewöhnlich nach dem Participium gestellt. Krüg. II § 56, 13, 2. Der Gedanke ist: „mein Stolz gestattet mir eigentlich nicht mit denen die mich kränken zu verhandeln", vgl. 370, 499. (Anders Porson: qui adversa fortuna utuntur, eos, quorum in potestate sunt, non audent libere alloqui).

283. ἀνήκεστον wird besonders in Hinsicht auf den Tod gesagt.

284. Die Konstruktion συμβάλλεται τοῦδε δείματος steht vereinzelt; sie scheint zu bedeuten „vieles trifft im Punkte dieser Furcht zusammen", „vieles trifft zusammen um diese Furcht zu erzeugen" (vgl. Ter. Andr. 571 multa concurrunt simul, qui coniecturam hanc nunc facio, Hautont. 232). Andere erklären: multa quae sint huius timoris.

λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν φυλάξομαι.
κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι, 290
ἢ μαλθακισθένθ' ὕστερον μεταστένειν.

Ἠ. φεῦ φεῦ·
οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
ἔβλαψε δόξα μεγάλα τ' εἴργασται κακά.
χρὴ δ' οὔποθ' ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ
παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς· 295
χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ
δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον 300
κρείσσων νομισθεὶς λυπρὸς ἐν πόλει φανῇ.

287. ὡς απαγγέλλουσί μοι nach ύω, um auszudrücken, dafs die genden Worte den Ausdruck r Drohung genau wiedergeben :hoene). Vgl. Phön. 737 ἔπτ' δρας αὐτοῖς φασιν, ὡς ἤκουσ' ἐγώ, τὰ προσκεῖσθαι πύλαις, Bakch. 771 κεῖνό φασιν αὐτόν, ὡς ἐγὼ κλύω.
288. γαμουμένην (wie ὁ νικῶν dgl.) nach δόντα und γήμαντα s Metrums wegen gebraucht, um für Drohungen charakteristische rechweise nachzuahmen.
291. μεταστένειν: μετὰ wie in ταγιγνώσκειν. Zu ὕστερον μεταένειν vgl. Hom. Il. 14, 53 οὐδέ ν ἄλλως Ζεὺς . . παρατεκτήιτο, Eur. Iph. A. 343 μεταβαλὼν λους τρόπους, 363 μεταβαλὼν λας γραφάς, Äsch. Pro. 325 θάρμοσαι τρόπους νέους.
292f. οὐ νῦν πρῶτον, eine rherische Wendung, vgl. 446, Hel. 7 ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ λλάκις ἄθλιος ἂν εἴην, Iph. T. 3 ὤφθημεν οὐ νῦν πρῶτον ὄντες λιοι, Soph. Phil. 966 οὐ νῦν ῶτον, ἀλλὰ καὶ πάλαι, Thuk. VI 38 οὐ νῦν πρῶτον, ἀλλ' ἀεὶ (in einer Rede), Isokr. VII § 74 τοῦτον εἴρηκα τὸν λόγον οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις. — δόξα „die Meinung von mir" („mein Ruf").

294. Inbetreff der folgenden Reflexion s. zu 119—130.

295ff. ἐκδιδάσκεσθαι „gründlich unterrichten lassen". — σοφούς ist proleptisches Prädikat. — ἄλλης ἧς ἔχουσιν: „von dem anderweitigen Vorwurf des Müfsiggangs". Vgl. Hom. Od. 6, 84 ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι. Ebenso wird öfters das lat. alius gebraucht. Vgl. Krüger I § 50, 4, 11. Koch § 81, 2, 3. Zu ἀργίαν ἔχουσιν (ἀργίας αἰτίαν ἔχουσιν) und φθόνον ἀλφάνουσι vgl. 218. Man hört hier den Vorwurf heraus, den man dem Dichter wegen seines von öffentlichen Geschäften zurückgezogenen und den Studien gewidmeten Lebens machte.

298—301. Auch in diesen Versen spielt der Dichter auf eigene Erlebnisse und Erfahrungen an. Man kann an Anaxagoras, an Sokrates

ἐγὼ δὲ καὐτὴ τῆσδε κοινωνῶ τύχης.
σοφὴ γὰρ οὖσα, τοῖς μέν εἰμ' ἐπίφθονος,
[τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,]
τοῖς δ' αὖ προσάντης· [εἰμὶ δ' οὐκ ἄγαν σοφή.
σὺ δ' αὖ φοβῇ με,] μή τι πλημμελὲς πάθῃς·
οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
ὥστ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
τί γὰρ σύ μ' ἠδίκηκας; ἐξέδου κόρην
ὅτῳ σε θυμὸς ἦγεν. ἀλλ' ἐμὸν πόσιν
μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν·
νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
ἐᾶτέ μ' οἰκεῖν. καὶ γὰρ ἠδικημένοι
σιγησόμεσθα, κρεισσόνων νικώμενοι.

denken. Auch wird man an den Ausspruch des Herakleitos erinnert (fr. 40 bei Strabo XIV p. 642): ἄξιον Ἐφεσίοις ἡβηδὸν ἀπάγξασθαι, οἵτινες Ἑρμόδωρον ἄνδρα ἑωυτῶν ὀνήιστον ἐξέβαλον φάντες· ἡμέων μηδὲ εἷς ὀνήιστος ἔστω, εἰ δὲ μή, ἄλλῃ τε καὶ μετ' ἄλλων.

302. καὐτή: der schon in κοινωνῶ liegende Begriff wird nachdrücklich hervorgehoben. Vgl. Or. 1590 οὐκ ἂν καμοιμι τὰς κακὰς κτείνων ἀεί.

303. τοῖς μέν, τοῖς δοκοῦσιν εἰδέναι τι ποικίλον (300).

304 stammt aus 808.

305. Die hier unpassenden Worte εἰμὶ .. σοφή stammen aus 583 und die weiteren σὺ δ' αὖ φοβῇ με geben sich als Erklärung zu den herzustellenden Worten σοὶ δ' αὖ προσάντης zu erkennen, so dafs der ursprüngliche Text lautet: σοὶ δ' αὖ προσάντης, μή τι πλημμελὲς πάθῃς. Medea legt den Gedanken „du andererseits fürchtest mich“ in den milderen Ausdruck „dir wieder bin ich unbehaglich“ (erwecke ich Bedenken). Vgl. Or. 790 κεῖνό μοι μόνον πρόσαντες, μὴ θεαί μ' οἴστρῳ κατάσχωσι.

307. οὐχ ὧδ' ἔχει μοι: vgl. 506, 723, Soph. O. K. 599, sonst καλῶς ἔχει μοι u. ä. Vgl. zu 732.

309. τί γάρ: statt zu sagen „ich bin nicht in der Lage Herrsc[h] etwas anzuhaben“ hat Medea ἐξαμαρτάνειν gleich die beson[dere] Handlung gegen Kreon als ein [Un]recht bezeichnet. Dies wird [be]gründet durch τί γὰρ σύ κτἑ.

310. ὅτῳ ἐκδόσθαι σε θυμὸς ἤ[γεν].

311. σωφρονῶν: vgl. Isokr. V ἐφθητε ποιησάμενοι τὴν εἰρ[ήνην] πρὶν ἐξεργασθῆναι τὸν λόγον, φρονοῦντες und oben 250.

312. καὶ νῦν d. i. deinem [bis]herigen Thun entsprechend.

314. καὶ γάρ: d. i. καί (περ) [ἠδι]κημένοι γάρ. — ἠδικημένοι: 385, 771. Wenn eine Frau [von] sich in der Mehrzahl spricht, [wird] das Masc. gebraucht (canon Da[we]sianus), weil zu der Allgemein[heit] des Ausdrucks die besondere [Be]zeichnung des Geschlechts n[icht] passen würde.

315. κρεισσόνων (vgl. 449) ν[ικώ]μενοι: νικᾶσθαί τινος (inferio[rem] esse, ἡττᾶσθαι) findet sich n[icht] blofs bei den Dramatikern (Ä[sch.] Suppl. 1016, Cho. 1050, Soph. 1353, Eur. Tro. 23, Herakleid. Iph. A. 1557, Kykl. 454) und and[eren] Dichtern (Pind. Nem. 9, 2), son[dern] auch in der Prosa, vgl. Krüge[r] § 47, 19, 1. Das offene Bekenn[tnis] der Medea, dafs sie nur aus K[lug]heit der Übermacht sich füge, [ist] geeignet den König zu beruhi[gen].

λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν
ὀρρωδία μοι μή τι βουλεύῃς κακόν·
τοσῷδε δ' ἧσσον ἢ πάρος πέποιθά σοι·
γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός. 320
ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην ὅπως
μενεῖς παρ' ἡμῖν οὖσα δυσμενὴς ἐμοί.

Γ. μή, πρός σε γονάτων τῆς τε νεογάμου κόρης.
λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ. 325
Γ. ἀλλ' ἐξελᾷς με κοὐδὲν αἰδέσῃ λιτάς;
φιλῶ γὰρ οὐ σὲ μᾶλλον ἢ δόμους ἐμούς.
. ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
πλὴν γὰρ τέκνων ἔμοιγε φίλτατον πολύ.
Γ. φεῦ φεῦ, βροτοῖς ἔρωτες ὡς κακὸν μέγα. 330
ὅπως ἄν, οἶμαι, καὶ παραστῶσιν τύχαι.

6 f. ἔσω φρενῶν ist zu βου-
; hinzugesetzt, um den Gegen-
zu λέγεις ἀκοῦσαι mehr hervor-
ben. — βουλεύῃς, „im Schilde
ıst"; anders βουλεύσῃ 37.
). Vgl. unser „stille Wasser sind
. — φυλάσσειν jemanden „in-
nehmen", um sich vor ihm in-
zu nehmen (φυλάσσεσθαι). —
ηλὸς σοφός nach γυνὴ ὀξύθυμος,
nach dem Zusatz ὡς δ' αὔτως
das allgemeine ἄνθρωπος ὀξύ-
ς vorschwebt.
2. ἄραρε: vgl. Androm. 255 ὡς
ἄραρε. — τέχνην ὅπως μενεῖς:
. Prom. 87 αὐτόν σε δεῖ προ-
ως ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλι-
ῃ τέχνης.
4. πρός σε γονάτων d. i. πρὸς
των σε αἰτοῦμαι, λίσσομαι, sehr
g bei Euripides. Wegen der
ung des Pronomens vgl. das
ber ego te deos oro, Krüger II
6, 2.
5. ἀναλοῖς: vgl. Hipp. 1336
ωσεν λόγων ἐλέγχους ὥστε σὴν
ιι φρένα („du verschwendest
Worte").
6. αἰδέσῃ, Scheu, Erbarmen
n. Vgl. zu Iph. T. 949.

329. γάρ: „ich glaube es, denn abgesehen von den Kindern ist mir wenigstens das Vaterland bei weitem das Liebste". Dem Kreon gelten also die Kinder mehr als das Vaterland. Diese Ansicht, die in Widerspruch steht mit fr. adesp. 411 φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ, trägt dazu bei, den Untergang des Kreon zu rechtfertigen.

330 f. ἔρωτες allgemein; Medea hat die Liebe zu Jason im Sinne. — ὅπως ἄν: ἐπεὶ καθόλου ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ἐπεισήγαγεν ὁ Κρέων τοῦτο ἀναιρῶν καὶ φησὶν ὅτι ὁ ἔρως οὐκ ἀεὶ κακός, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν Schol., „(nicht immer, sondern) je nachdem auch das Schicksal (einwirkend) dazu kommt". Vgl. Tro. 1052 ὅπως ἂν ἐκβῇ τῶν ἐρωμένων ὁ νοῦς. Kreon meint, es hänge sehr viel auch von anderen Umständen ab, und hofft Glück für die Liebe des Jason und seiner Tochter. Medea aber ruft Zeus an, daſs der treulose Jason nicht glücklich sein dürfe.

ΜΗ. Ζεῦ, μὴ λάθοι σε τῶνδ' ὃς αἴτιος κακῶν.
ΚΡ. ἕρπ' ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
ΜΗ. πονοῦμεν ἡμεῖς κοὐ πόνων κεχρήμεθα.
ΚΡ. τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ. 335
ΜΗ. μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον —
ΚΡ. ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
ΜΗ. φευξούμεθ'. οὐ τοῦθ' ἱκέτευσά σου τυχεῖν.
ΚΡ. τί δ' αὖ βιάζῃ κοὐκ ἀπαλλάσσῃ χερός;
ΜΗ. μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν 340
καὶ ξυμπερᾶναι φροντίδ' ᾗ φευξούμεθα,
παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν. 345
τοὐμοῦ γὰρ οὔ μοι φροντίς, εἰ φευξούμεθα,
κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
ΚΡ. ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν,
αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·

333. *καί . . πόνων* d. i. „und mache mir keine weiteren Sorgen".

334. *πονοῦμεν ἡμεῖς* giebt die Widerlegung von *καί μ' ἀπάλλαξον πόνων* („auf uns, nicht auf euch lasten die Sorgen"). Trotz dieses Gegensatzes wird der Zusatz *κοὐ πόνων κεχρήμεθα* gemacht, als ob Medea blofs sagen wollte, sie habe der Sorgen genug („in Sorgen sind wir und bedürfen nicht der Sorgen"). Vgl. unten zu 534 f.

338. *τοῦτο τυχεῖν*: Krüg. II § 47, 14, 4. — *ἱκέτευσά σου* wie Iph. A. 1242 *ἱκέτευσον πατρός*. Vgl. Soph. O. K. 1168 *ὅστις ἂν σου τοῦτο προσχρῄζοι τυχεῖν*. — *ἱκέτευσα*: das Tempus bezieht sich auf die Äufserung der Bitte.

339. *αὖ*, andrerseits, wenn du dieses nicht verlangst. — *βιάζῃ*, näher bestimmt Hipp. 325 *βιάζῃ χειρὸς ἐξαρτωμένη . . καὶ σῶν γε γονάτων*.

340. Die Allitteration des *μ* (vgl. Phön. 82 *ἔπεισα παιδὶ παῖδα*) unterstützt den flehentlichen, wie 364 f. die des *π* und *τ* den entschiedenen Ton der Rede.

341 f. Das Verlangen *ξυμπερᾶναι φροντίδ' ᾗ* (qua via) *φευξούμεθα* hat für den unterrichteten Zuschauer einen anderen Sinn als für Kreon; ebenso wird *παισίν τ' ἀφορμὴν ξυμπερᾶναι* in anderem Sinne wahr, als es Kreon versteht.

343. *προτιμᾷ*: die Attiker gebrauchen *προτιμᾶν* im Sinne von *ἐπιστρέφεσθαι, ἐντρέπεσθαι, ἐπιμελεῖσθαι*, vgl. Alk. 761 *ὃ μὲν γὰρ ᾖδε, τῶν ἐν Ἀδμητοῦ κακῶν οὐδὲν προτιμῶν*, Aristoph. Ach. 27 *εἰρήνη δ' ὅπως ἔσται, προτιμῶσ' οὐδέν*, Hesych. *οὐδὲν προτιμᾷ· οὐκ ἔχει λόγον*.

344. Vgl. Hek. 340 *ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα καὶ τῷδε*.

346. *τοὐμοῦ* (um mein Schicksal) statt des persönlichen Pronomens. — *εἰ φευξούμεθα* „wenn" d. i. „dafs ich ins Elend gehen mufs".

347. *συμφορᾷ κεχρημένους*: vgl. Hipp. 349 *ἡμεῖς ἂν εἶμεν θατέρῳ* (*τῷ ἀλγεινῷ*) *κεχρημένοι*.

349. Durch Scheu d. i. Rücksichtnahme und Mitleid habe ich schon viel verdorben.

καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι, 350
ὅμως δὲ τεύξῃ τοῦδε· προυννέπω δέ σοι,
εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονός,
θανῇ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
[νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν· 355
οὐ γάρ τι δράσεις δεινὸν ὧν φόβος μ' ἔχει.]

ΧΟ. [δύστανε γύναι,] φεῦ φεῦ, μελέα
τῶν σῶν ἀχέων. ποῖ ποτε τρέψῃ;
τίνα πρὸς ξενίαν ἢ δόμον ἢ χθόνα
σωτῆρα κακῶν [ἐξευρήσεις]; 360
ὡς εἰς ἄπορόν σε κλύδωνα θεός,
Μήδεια, κακῶν ἐπόρευσε.

ΜΗ. κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ, πω. 365
ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις
καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτε,

350. *καὶ νῦν* ordnet den besonderen Fall der allgemeinen Regel unter. — *ὁρῶ ἐξαμαρτάνων* wie Thuk. I 32 *ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες*, Isokr. *π. ἀντιδ.* § 8 *ἑώρων* . . *οἷός τε γενησόμενος*. Krüg. I § 56, 7. 5. Koch § 127, 3.

352. *λαμπὰς θεοῦ*: der Gott ist schon durch *ἐπιοῦσα λαμπὰς* als Helios bezeichnet, vgl. Alk. 722, Or. 1025 *φέγγος θεοῦ*, Äsch. Pers. 505 *θεοῦ ἀκτῖνας*, Soph. Trach. 145 *θάλπος θεοῦ*. — Ennius Med. fr. 7 si té secundo lúmine hic offéndero, | moriére.

355. 356 sind ein Zusatz von Schauspielern, welcher nur den vorausgehenden Gedanken verwässert.

357. *μεσῳδικόν* des Chors, bestimmt die folgende Ausführung der Medea anzuregen. Die Marschrhythmen begleiten das Abtreten des Kreon.

359f. *τίνα πρὸς ξενίαν*: nämlich *τρέψῃ*, vgl. Phön. 977 *ποῖ δῆτα φεύγω; τίνα πόλιν; τίνα ξένων;* Zu *ξενίαν* tritt *ἢ δόμον ἢ χθόνα* appositionell, während *σωτῆρα κακῶν* zunächst zu *χθόνα* gehört (vgl. El. 993 *τιμὰς σωτῆρας*). Die Vernachlässigung dieser Beziehung hat die Ergänzung *ἐξευρήσεις* (zu *σωτῆρα κακῶν*) zur Folge gehabt. Vgl. 387f., 713.

362. *κλύδωνα κακῶν*, eine Weiterbildung der gewöhnlichen Metapher *πέλαγος κακῶν*, *πέλαγος ἄτης* (Goethe „ein Meer von Klagen"), vgl. Ion 927 (zu 79).

365ff. d. i. *οὔπω ταύτῃ ταῦτά ἐστι* („noch ist es nicht soweit"). Der Vers erinnert an Äsch. Prom. 527 *οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος κρᾶναι πέπρωται*, wo auch *οὔπω* in gleicher Weise getrennt ist, vgl. Aristoph. Ri. 843 *οὐκ ὠγαθοὶ ταῦτ' ἐστί πω ταύτῃ, μὰ τὸν Ποσειδῶ*. — Ennius Med. fr. 8 néquaquam istuc ístac ibit: mágna inest certátio. | Nám ut ego illi súpplicarem tánta blandiloquéntia? *Τοῖσι κηδεύσασιν*: dem Kreon.

εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
οὐδ' ἂν προσεῖπον οὐδ' ἂν ἡψάμην χεροῖν. 370
ὃ δ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
ὥστ' ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
γῆς ἐκβαλόντι, τήνδ' ἐφῆκεν ἡμέραν
μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν. 375
πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς
οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι,
πότερον ὑφάψω δῶμα νυμφικὸν πυρί,
ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος
σιγῇ δόμους εἰσβᾶσ' ἵν' ἔστρωται λέχος. 380
ἀλλ' ἕν τί μοι πρόσαντες· εἰ ληφθήσομαι
δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
σοφοὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν. 385
εἶεν·

369. *κερδαίνουσαν* (nicht *κερδανοῦσαν*) „einen Vorteil erzielend".
370. *οὐδὲ — οὐδέ*: „nicht einmal — und nicht". *χεροῖν* ist Dativ.
371. Ennius Med. fr. 9 ílle traversa ménte mi hodie trádidit repágula, | quíbus ego iram omném recludam atque ílli perniciém dabo, | míhi maerores, ílli luctum, exítium illi, exiliúm mihi (vgl. dazu 399).
372. *ἑλεῖν*, occupare.
373. *ἐφῆκεν*: vgl. Soph. El. 621 *σοί γ' ἐφῆκα πᾶν λέγειν.*
375. Hier giebt Medea ihre entschiedene Entschlossenheit sich blutig zu rächen kund. Erst nachdem sie durch das Auftreten des Ägeus 663 ff. die Aussicht auf Schutz und Sicherheit erhalten hat, wird sie sich über den Racheplan, welchen sie schon länger in sich trägt (36 ff., 91 ff., 113 ff.), vollkommen klar (*εἰς ὁδὸν βεβήκαμεν* 766). Durch die Unterredung mit Jason unterdessen noch mehr gereizt, besonders aber durch den Vorwand des Jason, er habe nur seinen Kindern zu Liebe die Ehe mit Glauke geschlossen (562 ff.), erbittert erkennt sie in der Ermordung der Kinder und der Glauke die härteste Bestrafung des Jason (790 ff., 817), so daſs damit die Absicht den Gatten zu töten wegfallen muſs, da Jason durch ein einsames und verlassenes Dasein lange büſsen soll, vgl. 1396 und Ion fr. 2 p. 732 N. *κακῶν ἀπέστω θάνατος, ὡς ἴδῃ κακά.*
376. Vgl. Hel. 630 *πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων οὐκ οἶδ' ὁποῖον πρῶτον ἄρξωμαι τὰ νῦν.*
379. *ὤσω δι' ἥπατος* nämlich *τοῖς νεωστὶ νυμφίοις*, wie aus dem folgenden Vers zu entnehmen ist.
382. *δόμους ὑπερβαίνουσα* „über die Schwelle des Hauses treten" sei es hinein- oder herausgehend, vgl. Ion 514 *ἐν δόμοις ἔστ', ὦ ξέν', οὔπω δῶμ' ὑπερβαίνει τόδε.*
383. *θήσω . . γέλων* wie Ion 1172 *γέλων δ' ἔθηκε συνδείπνοις πολύν.*
384 f. *κράτιστα*, *κράτιστον* wie *συγγνωστά* 491, 703. Kr. II § 44, 3, 9. — *τὴν εὐθεῖαν* (*ὁδόν*): vgl. Krüger I § 43, 3, 9. — *σοφοί*: vgl. zu 314. Medea ist *φαρμακίς* schlechthin (Apollod. I 9, 23, 5).

καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
ξένος παρασχὼν ῥύσεται τοὐμὸν δέμας;
οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ, 390
δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
κτενῶ σφε, τόλμης δ' εἶμι πρὸς τὸ καρτερόν.
οὐ γὰρ μὰ τὴν δέσποιναν ἣν ἐγὼ σέβω 395
μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,

386. *καὶ δὴ τεθνᾶσι*: „und angenommen sie sind tot", vgl. 1107, Hel. 1059 *καὶ δὴ παρεῖκεν· εἶτα πῶς σωθησόμεσθα*, Äsch. Eum. 895 *καὶ δὴ δέδεγμαι· τίς δέ μοι τιμὴ μένει;*

387. *γῆν ἄσυλον*: wo ich nicht in Gefahr bin weggeschleppt zu werden (*ῥυσιάζεσθαι*)". Im fremden Lande war man vor solchen Angriffen nicht sicher, wenn man nicht einen mächtigen Gastfreund fand, der Gewalt mit Gewalt abwehrte.

390. Hiermit wird das Auftreten des Ägeus vorbereitet. Dadurch dafs Medea auch für den anderen Fall einen Plan feststellt (392 ff.), wird der Eindruck des Zufälligen abgeschwächt. — *πύργος ἀσφαλής*: vgl. Alk. 311 *καὶ παῖς μὲν ἄρσην πατέρ' ἔχει πύργον μέγαν*, Soph. Ai. 159 *σμικροὶ μεγάλων χωρὶς σφαλερὸν πύργου ῥῦμα πέλονται*, Alkäos fr. 23 *ἄνδρες πόληος πύργος ἀρεύιος*, Hom. Od. 11, 556 *τοῖος γάρ σφιν πύργος ἀπώλεο.*

393. *αὐτή* in Gegensatz zu *δόλῳ καὶ σιγῇ* (391), persönlich, nicht durch Hilfe anderer (der Kinder).

394. *εἶμι πρὸς τὸ καρτερὸν τόλμης*, ich werde an das Starkmütige kühnen Wagnisses d. h. an das kühne Wagnis mit starkem Mute herantreten, vgl. 402, Herakleid. 562 *σφαγῆς γε πρὸς τὸ δεινὸν εἶμ' ἐγώ*, Hek. 516 *πρὸς τὸ δεινὸν ἤλθετε*, Soph. fr. 325 *ὅστις δὲ τόλμης* (so Elmsley für *τόλμῃ*) *πρὸς τὸ δεινὸν ἔρχεται, ὀρθὴ μὲν ἡ γλῶσσ' ἐστίν, ἀσφαλὴς δ' ὁ νοῦς.*

397. Hekate war eine Mondgöttin wie Artemis, mit welcher sie auch identificiert wird. „Ihr waren ganz besonders die Dreiwege heilig (*τριοδῖτις*), mit denen sich der Aberglaube von jeher beschäftigt hat. Der geisterhafte Spuk und alle dämonischen Erscheinungen der mondbeleuchteten Strafsen und Kreuzwege blieben ihr eigentümliches Gebiet, wobei zu bedenken ist, dafs die Alten ihre Gräber an den Strafsen hatten. Es ist der bleiche Mond, wie er bei nächtlicher Weile über die einsamen Strafsen und über die Gräber sein Licht ausgiefst und allerlei huschende Gestalten und Geistesschwärmerei aufregt, vom Geheul der Hunde bewillkommnet, welche eben deshalb der Hekate heilig waren. Ein unheimlicher Eindruck für jedes Gemüt, daher sie zur Göttin der Gespenster und der magischen Beschwörung schlechthin geworden ist, wie in dieser Hinsicht schon die ältere Sage die beiden Zauberinnen Kirke und Medea als lebende Bilder des Hekatedienstes kennt und namentlich die letztere mit der Zeit ganz zur Dienerin der Hekate geworden ist" (Preller Gr. Myth. I[3] S. 259).

χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
πικροὺς δ' ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός. 400
ἀλλ' εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
ἕρπ' εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
ὁρᾷς ἃ πάσχεις· οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
τοῖς Σισυφείοις τοῖσδ' Ἰάσονος γάμοις, 405
γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες, εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται.

398. *χαίρων* (impune): vgl. Herakleid. 258 *ἀλλ' οὐκ ἐμοῦ γε δεσπόσεις χαίρων ποτέ*, Androm. 758 *κλαίων ἄρα ψαύσει.*

399f. *πικροὺς τοῖς νεωστὶ νυμφίοις — πικρὸν τοῖσι κηδεύσασιν*: 366f. Vgl. Hom. Od. 1, 266 *πάντες* (die Freier) *κ' ὠκύμοροί τε γενοίατο πικρόγαμοί τε.* — Über *σφὶν* in demonstrativer Bedeutung vgl. Krüger II § 51, 1, 19. Noch Suppl. 769 *πόσῳ σφιν συνθανεῖν ἂν ἤθελον.*

401. *ἀλλ' εἶα, φείδου μηδέν*: vgl. 1242, Hek. 1044 *ἄρασσε, φείδου μηδέν*, Herakl. 1400 *ἔκμασσε, φείδου μηδέν*, Soph. Ai. 115 *χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.*

402. *Μήδεια*: die Anrede der eigenen Person ist ebenso affektvoll wie die Anrede des Herzens 1056.

405. *Σισυφείοις*: *ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱπποβότοιο· ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν, Σίσυφος Αἰολίδης· ὃ δ' ἄρα Γλαῦκον τέκεθ' υἱόν, αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην* Il. 6, 152. Vgl. Einleitung S. 5. Bei Hesiod fr. 32 Gttl. heifst er *αἰολομήτης*, bei Pind. Ol. 13, 72 *πυκνότατος παλάμαις.* Die Abstammung der Glauke von dem verschlagenen und verschmitzten Sisyphos wird hier mit derselben Gehässigkeit und Verächtlichkeit berührt wie die gleiche des Odysseus Iph. A. 524 *τὸ Σισύφειον σπέρμα*, Soph. Ai. 190 *ὁ τᾶς ἀσώτου Σισυφίδας γενεᾶς.*

407. *ἐπίστασαι* weist auf das Vorhergehende zurück und steht nur, um daran das Folgende anzuknüpfen: *πρὸς δὲ τῷ ἐπιστήμων εἶναι* (385, 401) *καὶ γυνὴ πέφυκα.* — Die an und für sich unnütze Bemerkung *πρὸς δὲ καὶ πεφύκαμεν γυναῖκες κτἑ.* ist der Stimmung des Euripides gegen die Frauen entsprungen. Vgl. fr. 464 *γαμεῖτε νῦν, γαμεῖτε κἆτα θνήσκετε ἢ φαρμάκοισιν ἐκ γυναικὸς ἢ δόλοις*, 1059 *δεινὴ μὲν ἀλκὴ κυμάτων θαλασσίων, .. δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία, ἀλλ' οὐδὲν οὕτω δεινὸν ὡς γυνὴ κακόν.* Von sich scheint der Dichter zu sagen, was er Hipp. 664 dem Hippolytos in den Mund legt: *μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι γυναῖκας, οὐδ' εἴ φησί τίς μ' ἀεὶ λέγειν.*

408f. Der Reim *-ώταται* wie Phön. 1478f. *εὐτυχέστατοι — δυστυχέστατοι*, oben 314, Soph. Ai. 807 *ἠπατημένη — ἐκβεβλημένη*, 1085 *ἂν ἡδώμεθα — ἂν λυπώμεθα*, unten 1145—1148, 1182—1185. Eine scherzhafte Wirkung bezweckt der Gleichklang Alk. 782 ff. *ὀφείλεται — ἐξεπίσταται — εἰ βιώσεται — οἷ προβήσεται.* Medea bleibt in Nachdenken versunken während des folgenden Chorgesanges auf der Bühne stehen.

ΧΟΡΟΣ.

Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαί, stroph. 1. 410
καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
ἀνδράσι μὲν δόλιαι βουλαὶ θεῶν τ'
οὐκέτι πίστις ἄραρε.
τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν 415
στρέψουσι φᾶμαι·
ἔρχεται τιμὰ γυναικείῳ γένει·
οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει. 420

μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδᾶν antistr. 1.

410. **Erstes Stasimon.** Der **Ausspruch** der Medea veranlafst **den** Chor zu der Bemerkung, dafs nunmehr der schlechte Ruf der **Frauen** auf die Männer übergehe. **Der Mann** (Jason) hat sich treulos **gezeigt**, die Gattin ist treu geblieben. — Der treulose Jason ist ein **Grieche**, während die treue Frau **eine** Barbarin ist; daher der **Ausruf** 439 f. Mehr aber als auf den **Inhalt** des Stückes wirft der Dichter **einen** Blick auf die traurige **Wirklichkeit** (vgl. Einleitung S. 25). — **Vier Stasima** (I—IV) dieses Stückes **haben** zum Anfang eine daktylisch-**epitritische** (dorische) Strophe. „Die **männliche** Ruhe des Chorrhythmus **tritt** zu der furchtbaren und mafs**losen** Leidenschaft des Weibes in **einen** beabsichtigten höchst effekt**vollen** Kontrast" (Westphal). In **den zweiten** Strophen geht der **hesychastische** Tropos in beweg**teren** Rhythmus (Logaöden) über.

410. Ἄνω ποταμῶν: παροιμία ἐπὶ τῶν ἐπ' ἐναντία γινομένων· κέχρηνται καὶ Αἰσχύλος καὶ Εὐριπίδης. Hesych. — ἀνέστραπται ἡ φύσις. οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. Schol. Vgl. Suppl. **520** ἄνω γὰρ ἂν ῥέοι τὰ νάμαθ' **οὕτως**, Ovid. Trist. II 8, 1 in caput **alta** suum labentur ab aequore **retro** flumina conversis solque re**curret** equis, Hor. carm. I 29, 10 **quis** neget arduis pronos relabi **posse** rivos montibus. — ποταμῶν ἱερῶν παγαί (Wasser): vgl. Äsch. Prom. 450 παγαὶ θ' ἁγνορύτων ποταμῶν und oben zu 68. [illegible] κακῶν.

412 f. ἀνδράσι steht nicht im Gegensatz zu θεῶν (Menschen), sondern in Gegensatz zu τὰν ἐμὰν (γυναικῶν) und gehört auch zu ἄραρε. — θεῶν πίστις: die bei den Göttern geschworene Treue, vgl. Soph. Ant. 369 θεῶν ἔνορκον δίκαν.

415 f. Zu verbinden: τὰν δ' ἐμὰν βιοτὰν στρέψουσι φᾶμαι εὔκλειαν ἔχειν: εὔκλειαν ἔχειν bezeichnet die Wirkung von στρέψουσι φᾶμαι βιοτάν; erst in dieser Wirkung ist die besondere Beziehung von στρέψουσι enthalten (τὴν δὲ δύσκλειαν τῆς ἐμῆς βιοτῆς στρέψουσι φῆμαι, ὥστε εὔκλειαν γίγνεσθαι): mit meinem Dasein wird in der Rede der Menschen insofern eine Umwandlung vorgehen, als es einen guten Ruf gewinnt.

420. δυσκέλαδος weist bereits auf Spottlieder hin, von welchen in der Gegenstrophe die Rede ist. Vgl. Ion 1090 ὁρᾶθ' ὅσοι δυσκελάδοισιν κατὰ μοῦσαν ἰόντες ἀείδεθ' ὕμνοις ἁμέτερα λέχεα καὶ γάμους Κύπριδος ἀθεμίτους ἀνοσίους.

421 f. μοῦσαι ἀοιδᾶν: vgl. Tro. 512 καινῶν ὕμνων ᾠδὰν ἐπικήδειον, 609 θρήνων ὀδυρμοί, Alk. 454 μολπὰν μελέων, Iph. T. 183 τὰν ἐν θρήνοις μοῦσαν, νέκυσι μελομέναν τὰν ἐν μολπαῖς Ἅιδας ὑμνεῖ, dann Ausdrücke wie πῆμα νόσου, λέκτρων εὐναί (vgl. 436), δεσμῶν

τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
ὤπασε θέσπιν ἀοιδὰν 425
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀντ-
άχησ' ἂν ὕμνον
ἀρσένων γέννᾳ· μακρὸς δ' αἰὼν ἔχει
πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν. 430
σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας stroph. 2.
μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
πέτρας· ἐπὶ δὲ ξένᾳ
ναίεις χθονί, τᾶς ἀνάνδρου 435

πέδαι. — *παλαιγενέων*: vgl. zu 204. — *παλαιγενέων ἀοιδᾶν*: alludit per prolepsin ad poemata Archilochi, qui Euripidi *παλαιγενὴς* erat, licet non Medeae (Musgrave). Der Scholiast erinnert an Hom. Od. 11, 456 *ἐπεὶ οὐκέτι πιστὰ γυναιξίν* und Hes. W. u. T. 375 *ὃς δὲ γυναιξὶ πέποιθε, πέποιθ' ὅ γε φηλήτῃσι.* Vgl. Eur. fr. 321 *ἦν | γέρων τις αἶνος, ὡς γυναιξὶ μὲν τέχναι μέλουσι, λόγχῃ δ' ἄνδρες εὐστοχώτεροι. εἰ γὰρ δόλοισιν ἦν τὸ νικητήριον, ἡμεῖς ἂν ἀνδρῶν εἴχομεν τυραννίδα.* — *ὑμνεῦσαι*: diese jonische Kontraktion findet sich bei Eur. noch Hipp. 167 *ἀύτευν*, Iph. A. 789 *μυθεῦσαι*, bei Soph. nirgends, bei Äsch. Prom. 123 *εἰσοιχνεῦσιν*, 672 *πωλεύμενοι.* — *ἀπιστοσύναν* mit seiner jonischen Endung entspricht der Form *ὑμνεῦσαι.* — *λήξουσιν ὑμνεῦσαι*, weil sie keine Geltung mehr haben und keinen Anklang finden werden.

424 ff. *γάρ*: die Begründung wird in umgekehrter Gedankenfolge gegeben; in gewöhnlicher Folge hieſse sie: „denn hätte Apollon mir die Gabe des Gesanges in die Brust gelegt, so könnte ich wohl den Männern ein Gegenlied singen; am Stoffe sollte es nicht fehlen". — *ἐν ἁμετέρᾳ γνώμᾳ* für *ἡμῖν ἐν γνώμῃ*, vgl. Iph. A. 584 *ὃς τᾶς Ἑλένας ἐν ἀντωποῖς βλεφάροισιν ἔρωτα δέδωκας.* — *ὤπασε θέσπιν ἀοιδήν* nach Hom. Od. 8, 498 *ὡς ἄρα τοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδήν.* — *ἁγήτωρ* (*ἡγήτωρ* ist eine epische Form) *μελέων*: vgl. Pind. Nem. 5, 24 *φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων ἁγεῖτο παντοίων νόμων.*

426. *ἐπεὶ — ἀρσένων γέννᾳ*: vgl. Ion 1096 *παλίμφαμος ἀοιδὰ καὶ μοῦσ' εἰς ἄνδρας ἴτω δυσκέλαδος ἀμφὶ λέκτρων.*

429 f. *μακρὸς αἰὼν* (longum aevum) *κτέ.*: „die lange Zeit bietet Stoff genug von dem Lose der Männer wie von dem der Frauen (tadelnd) zu reden". Statt des erwarteten *πολλὰ δὲ ἀνδρῶν* folgt *ἀνδρῶν τε*, wodurch auf *ἀνδρῶν* dem Sinne entsprechend der Hauptnachdruck fällt (*ἁμετέραν* ist nur in bescheidener Weise hinzugesetzt). Vgl. zu 125 und Äsch. Sept. 907 *ἔρξάτην πολλὰ μὲν πολίτας ξένων τ' ἐπακτῶν στίχας πολυφθόρους ἐν δαΐ*, Soph. Trach. 1012 *πολλὰ μὲν ἐν πόντῳ κατά τε δρία πάντα καθαίρων.*

431 f. *πατρίων* (Adjektiv zu *πατέρες*) hier s. v. a. *πατρῴων* (Adj. zu *πατήρ*) vgl. Hek. 82 *ξείνου πατρίου* und unten 502. — *μαινομένᾳ κραδίᾳ*, vgl. Hipp. 1274 *θέλγει δ' Ἔρως ᾧ μαινομένᾳ κραδίᾳ πτανὸς ἐφορμάσῃ* und oben 8. — *διδύμους* = vgl. zu 2 u. zu 1197. — *ὁρίσασα*, zwischen den beiden Felsen hindurchfahrend, vgl. Äsch. Hik. 553 *διχῇ δ' ἀντίπορον γαῖαν . . ὁρίζει.* — Ennius Med. fr. 16 útinam ne umquam, Méde, Colchis cúpido corde pédem extulisses!

435. *ἀνάνδρου* proleptisch für

κοίτας ὀλέσασα λέκτρον,
τάλαινα, φυγὰς δὲ χώρας
ἄτιμος ἐλαύνῃ.

βέβακε δ' ὅρκων χάρις, οὐδ' ἔτ' αἰδὼς antistr. 2.
Ἑλλάδι τᾷ μεγάλᾳ μένει, αἰθερία δ' ἀνέπτα. 440
σοὶ δ' οὔτε πατρὸς δόμοι,
δύστανε, μεθορμίσασθαι
μόχθων πάρα τῶν τε λέκτρων
ἄλλα βασίλεια κρείσσων
δόμοις ἐπανέστα. 445

ΙΑΣΩΝ.

Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις
τραχεῖαν ὀργὴν ὡς ἀμήχανον κακόν.

ἀνδρὸς λέκτρον ὀλέσασα, vgl. Pers. 301 *ἄνανδρον τάξιν ἠρήμου θανών.* — *κοίτας λέκτρον*: vgl. Herakl. 798 *ὦ λέκτρων δύο συγγενεῖς εὐναί*, Hipp. 154 *κρυπτὰ κοίτα λεχέων σῶν*, Äsch. Pers. 546 *λέκτρων εὐνὰς ἁβροχίτωνας ἀφεῖσαι* und zu 421: kein Pleonasmus, sondern poetische Veranschaulichung.

438. *ἄτιμος*: zu 1357.

439 f. *βέβακε* — *Ἑλλάδι*: man vgl. die düstere Schilderung der Zustände Griechenlands bei Thuk. III 82, die freilich von späterer Zeit gilt, dazu Iph. A. 1089 ff. — *ὅρκων χάρις* (Heiligkeit) wie *ἀθίκτων χάρις* Äsch. Ag. 383. — *αἰδώς* (sittliches Gefühl): Hes. W. u. T. 195 *καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν ἀθανάτων μετὰ φῦλον ἴτην, προλιπόντ' ἀνθρώπους, Αἰδὼς καὶ Νέμεσις.* — Zu *αἰθερία* (*εἰς αἰθέρα*) vgl. Iph. T. 1424 *παράκτιοι δραμεῖσθε*, Soph. Ant. 785 *φοιτᾷς ὑπερπόντιος*, Krüg. II § 57, 5, 2. — *αἰθερία ἀνέπτα*: eine vornehmlich Euripideische Redensart, vgl. Iph. T. 843 *μὴ πρὸς αἰθέρα ἀμπτάμενος φύγῃ*, Androm. 1219 *ἀμπτάμενα φροῦδα πάντα*, Hek. 334 *λόγοι πρὸς αἰθέρα φροῦδοι*, Herakl. 69 *καὶ νῦν ἐκεῖνα μὲν θανόντ' ἀνέπτατο*, 653 *κατ' αἰθέρ' ἀεὶ πτεροῖσι φορείσθω* (*τὸ λυγρὸν γῆρας*).

441 f. *οὔτε* — *τε*, neque — et, vgl. Hek. 1230 *οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον χρυσοῦ τ' ὄνησις οἴχεται* u. ö. — *μεθορμίσασθαι* wie 258.

443. *πάρα* s. v. a. *πάρεισι* wie bei Homer, Aristoph. Ach. 1091. Vgl. Krüger II § 68, 2, 6 u. 7. *τῶν λέκτρων* nach dem vorangestellten *σοί* s. v. a. *σῶν λέκτρων*, vgl. Iph. A. 988 *εἶτά σοι τάχα ὄρνις γένοιτ' ἂν τοῖσι μέλλουσιν γάμοις θανοῦσ' ἐμὴ παῖς*, unten 1000 *σοι* — *πόσις*. — *τῶν λέκτρων κρείσσων* s. v. a. *κρατοῦσα* (im Besitze). — *δόμοις βασίλεια ἐπανέστη*: „hat sich gegen dich (*ἐπ-*) als Herrscherin im Hause erhoben". Vgl. 694 *γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει*, 970.

446. Zweites Epeisodion (Jason, dessen Auftreten 460 ff. motiviert wird, und Medea, die auf der Bühne zurückgeblieben). Das kaltblütige und niederträchtige Benehmen, welches Jason in dieser Scene zeigt, ist geeignet die Leidenschaft der Medea aufs höchste zu entflammen.

446. *Οὐ νῦν πρῶτον ἀλλὰ πολλάκις* wie 292.

σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν
κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
λόγων ματαίων εἵνεκ' ἐκπεσῇ χθονός. 450
κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
λέγουσ' Ἰάσων ὡς κάκιστός ἐστ' ἀνήρ·
ἃ δ' εἰς τυράννους ἐστί σοι λελεγμένα,
πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων 455
ὀργὰς ἀφῄρουν καί σ' ἐβουλόμην μένειν·
σὺ δ' οὐκ ἀνιεῖς μωρίας, λέγουσ' ἀεὶ
κακῶς τυράννους· τοιγὰρ ἐκπεσῇ χθονός.
ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
ἥκω, τὸ σὸν δὴ προσκοπούμενος, γύναι, 460
ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς
μήτ' ἐνδεής του· πόλλ' ἐφέλκεται φυγὴ
κακὰ ξὺν αὑτῇ. καὶ γὰρ εἰ σύ με στυγεῖς,
οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.

ΜΗ. ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω 465
γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν,

451 f. *κἀμοὶ οὐδὲν πρᾶγμα· μὴ παύσῃ*: „mir verschlägt es nichts: fahre immerhin fort".

454. *πᾶν κέρδος* („reinen Gewinn"): vgl. Herakleid. 959 *καὶ κερδανεῖς ἅπαντα*. — *φυγῇ* und nicht mit dem Tode.

457. *ἱεῖς, τιθεῖς* (wie *ἐτίθεις, ἐτίθει*, Imperat. *τίθει*) ist die attische Form der zweiten Person Präs., nicht *ἵῃς, τίθῃς*.

458. *τοιγὰρ* wie 509 und sonst häufig in dem Sinne „zum Lohne, zur Strafe dafür".

459 f. *καὶ ἐκ τῶνδε* „auch nach solchen Vorgängen", vgl. Androm. 1184 *οὗτος ἂν ὡς ἐκ τῶνδ' ἐτιμᾶτ' ἂν θανών*, Hipp. 705 *ἀλλ' ἔστι κἀκ τῶνδ' ὥστε σωθῆναι*, Soph. Trach. 1109 *χειρώσομαι κἀκ τῶνδε*, Ai. 537 *τί δῆτ' ἂν ὡς ἐκ τῶνδ' ἂν ὠφελοῖμί σε*. — *οὐκ ἀπειρηκὼς φίλοις*: vgl. Androm. 87 *ὁρᾷς; ἀπαυδᾷς ἐν κακοῖς φίλοισι σοῖς*. — *τὸ σὸν προσκοπούμενος*: vgl. Androm. 257 *οὐ τὸ σὸν προσκέψομαι*, Phön. 472 *προυσκεψάμην τοὐμόν τε καὶ τοῦδε*.

463. *καὶ γὰρ εἰ*: nam etiamsi.

465. *ὦ παγκάκιστε* auch Soph. Ant. 742.

466. *γλώσσῃ* in Gegensatz zu *φρενί* wie Androm. 451 *λέγοντες ἄλλα μὲν γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί* oder Or. 1514 *δειλίᾳ γλώσσῃ χαρίζῃ, τἄνδον οὐχ οὕτω φρονῶν* („im Herzen verachte ich dich noch mehr als ich durch *παγκάκιστε* ausdrücken kann"). — Man verbinde *τοῦτο γὰρ μέγιστον εἰς ἀνανδρίαν κακὸν γλώσσῃ εἰπεῖν ἔχω* („denn es steht mir kein ärgeres Schimpfwort um Charakterlosigkeit und Niederträchtigkeit zu bezeichnen — eigentlich in Bezug auf Unmännlichkeit, vgl. *λοιδορεῖν τινα εἴς τι* — zu Gebote" oder „die Sprache hat kein Wort, das meinem Gefühle deiner Gemeinheit entspricht"). Vgl. fr. 666 *ὦ παγκακίστη καὶ γυνή· τί γὰρ λέγων μεῖζόν σε τοῦδ' ὄνειδος*

ἦλθες πρὸς ἡμᾶς, ἦλθες ἔχθιστος γεγώς;
[θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει;]
οὔτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλους κακῶς δρῶντ' εἶτ' ἐναντίον βλέπειν, 470
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδει'· εὖ δ' ἐποίησας μολών·
ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
ψυχὴν κακῶς σε καὶ σὺ λυπήσῃ κλύων.
ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν. 475
ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
ταὐτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
ζεύγλαισι καὶ σπεροῦντα θανάσιμον γύην·
δράκοντα δ', ὃς πάγχρυσον ἀμπέχων δέρος 480
σπείραις ἔσῳζε πολυπλόκοις ἄυπνος ὤν,
κτείνασ' ἀνέσχον σοὶ φάος σωτήριον.

[...]είκοι τις ἄν. „Feig und nieder-[...]ächtig bist du, fährt Medea fort, [...]enn denke nur nicht, dafs dazu [...]annhaftigkeit und Mut gehöre, [...]ir vor die Augen zu treten; das [...]igt nichts als Unverschämtheit.“ [...]an mufs sich vorstellen, dafs Jason [...]m ersten Mal, seitdem er den neuen [...]hebund geschlossen hat, Medea [...]iedersehe.

468 stammt aus 1324.

470. δρῶντ' εἶτα wie fr. 432 [...]τός τι νῦν δρῶν εἶτα δαίμονας [...]λει, Soph. Ai. 468 καὶ δρῶν τι [...]ηστὸν εἶτα λοίσθιον θάνω; Auch [...]ist findet sich das Partic. Präs. [...]er vor εἶτα wie El. 1058, Hik. [...] f., 297, Ion 833, Äsch. Prom. [...].

471. Vgl. fr. 403, 7 πασῶν με-[...]την τῶν ἐν ἀνθρώποις νόσων.

475. Ein Gedanke rhetorischer [...]chnik. Vgl. Hipp. 991 πρῶτα ἄρξομαι λέγειν ὅθεν μ' ὑπῆλθες [...]ῶτον, Suppl. 517 καὶ πρῶτα μὲν πρὸς τὰ πρῶτ' ἀμείψομαι, Iph. 849 ταῦτα μέν σε πρῶτ' ἐπῆλ-[...]ν, ἵνα σε πρῶθ' ηὗρον κακόν, [...]48, Isokr. IV § 28 πρῶτον μὲν [...]ῶν, οὗ πρῶτον ἡ φύσις ἡμῶν [...]εηθη κτέ., Aristot. Poet. I p. 1447a 12 λέγωμεν ἀρξάμενοι κατὰ φύσιν πρῶτον ἀπὸ τῶν πρώτων. — πρώ-των πρῶτον beliebte Zusammenstellung (von Homer an): vgl. 513, 521, 579, 805, 1165. Iph. T. 31 βαρβάροισι βάρβαρος, Phön. 750 ἴσους ἴσοισι, zu Äsch. Prom. 19.

476. Dieser Vers wurde wegen der vielen σ von den alten Komikern (Platon, Eubulos) parodiert, ein Vers von Platon lautet: ἔσωσας ἐκ τῶν σίγμα τῶν Εὐριπίδου. Ein anderes Beispiel von solchem Sigmatismus bietet 539 oder Iph. T. 765 τὸ σῶμα σώσας τοὺς λόγους σώσεις ἐμοί, Hipp. 656 εὖ δ' ἴσθι, τοὐμόν σ' εὐσεβὲς σῴζει, γύναι. Zu der ganzen folgenden Stelle vgl. das Bruchstück einer lateinischen Tragödie (der Medea des Ennius oder des Accius) ex inc. inc. fab. 94 nón commemoro, quód draconis saévi sopivi ímpetum, | nón quod domui vím taurorum et ségetis armataé manus.

479. ζεύγλαισι mit ἐπιστάτην wie mit ἐπιστατοῦντα verbunden.

481. πολυπλόκοις: vgl. zu 204.

482. ἀνέσχον φάος: vgl. Iph. A. 732 τίς δ' ἀνασχήσει φλόγα; Ion 716 Βάκχιος ἀμφιπύρους ἀνέχων πεύκας.

αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς
τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
σὺν σοί, πρόθυμος μᾶλλον ἢ σοφωτέρα, 485
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν
παίδων ὑπ' αὐτοῦ, πάντα δ' ἐξεῖλον φόβον.
καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν
προύδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι, 490
συγγνώστ' ἂν ἦν σοι τοῦδ' ἐρασθῆναι λέχους·
ὅρκων δὲ φρούδη πίστις, οὐδ' ἔχω μαθεῖν
ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τὰ νῦν,
ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν. 495
φεῦ δεξιὰ χείρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρῴσμεθα
κακοῦ πρὸς ἀνδρός, ἐλπίδων δ' ἡμάρτομεν.
ἄγ'· ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι —
δοκοῦσα μὲν τί πρός γε σοῦ πράξειν καλῶς; 500
ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ —
νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,

485. πρόθυμος μᾶλλον ἢ σοφωτέρα (mehr dem Herzen als dem Verstande folgend) wie προθυμοτέρα ἢ σοφωτέρα, vgl. Herodot. III 65 ἐποίησα ταχύτερα ἢ σοφώτερα, VII 294; dagegen Äsch. Ag. 1591 προθύμως μᾶλλον ἢ φίλως.

487. ὑπὸ παίδων αὐτοῦ schliefst sich an θανεῖν an; es heifst aber αὑτοῦ (ipsius), nicht αὐτοῦ, weil bei ὑφ' αὑτοῦ die Präposition infolge der Aspiration nicht von αὑτοῦ getrennt werden könnte. — ἐξεῖλον φόβον, nämlich σοῦ, vgl. Phön. 991 πατρὸς ἐξεῖλον φόβον.

493f. ἢ — ἢ ist nach Homerischer Weise (vgl. Krüger II § 65, 1, 3) in der abhängigen Frage gebraucht für εἰ — ἢ (oder πότερον — ἢ) im Sinne eines εἰ ἢ — ἢ („ob entweder — oder"), um die Alternative nachdrücklich hervorzuheben, vgl. Äsch. Cho. 889 εἰδῶμεν ἢ νικῶμεν ἢ νικώμεθα, Prom. 806 ἑλοῦ γάρ, ἢ πόνων τὰ λοιπά σοι φράσω σαφηνῶς ἢ τὸν ἐκλύσοντ' ἐμέ.

497. τῶνδε γονάτων für τάδε γόνατα nach ἧς ἐλαμβάνου. — κεχρῴσμεθα ist gewählt, um das Äufserliche des Thuns ohne inneres Gefühl auszudrücken, vgl. Phön. 1625 σοί τ' εὖ λέλεκται γόνασι μὴ χρῴζειν ἐμά (wo ἕλιξας ἀμφὶ σὸν χεῖρας γόνυ vorausgeht).

499 f. Vgl. 280. — πρός γε σοῦ verächtlich.

500. Schol. καθηπικὴν ὑπόκρισιν δηλοῖ τὸ τί.

502. Ennius Med. fr. 10 quo nunc me vortam? quód iter incipiam ingredi? domúm paternamne anne ad Peliae filias? Cicero de orat. III 56 teilt eine ähnliche berühmte Stelle aus einer Rede des C. Gracchus an das Volk mit „quo me miser conferam? quo vertam? In Capitolium ne? At fratris sanguine madet. An domum? Matremne ut miseram lamentantem videam et abiectam?" (Quae sic ab illo esse acta constabat oculis, voce, gestu, inimici ut lacrimas tenere non possent).

οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφ' ἱκόμην;
ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
δέξαιντο μ' οἴκοις ὧν πατέρα κατέκτανον. 505
ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
δρᾶν, σοὶ χάριν φέρουσα πολεμίους ἔχω.
τοιγάρ με πολλαῖς μακαρίαν ἀν' Ἑλλάδα
ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε 510
ἔχω πόσιν καὶ σεμνὸν — ἡ τάλαιν' ἐγώ,
εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
πτωχοὺς ἀλᾶσθαι παῖδας ἥ τ' ἔσωσά σε. 515
ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ᾖ

503. **οὓς καὶ πάτραν**: eine freie Verbindung, vgl. 163, Hel. 1644 *Διόσκοροι, οὓς Λήδα ποτὲ ἔτικτεν Ἑλένην τε*, El. 86 *Αἰγίσθου, ὅς μου κατέκτα πατέρα χἠ πανώλεθρος μήτηρ.*

504 f. Vgl. Soph. Ai. 1008 *ἦ πού με Τελαμὼν . . δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ', ἰδὼν χωροῦντ' ἄνευ σοῦ.*

506 f. **τοῖς μὲν οἴκοθεν φίλοις** bezieht sich auf *πατρὸς δόμους καὶ πάτραν*, **οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς δρᾶν** auf *ταλαίνας Πελιάδας*. „Alle Welt, sagt Medea, habe ich mir verfeindet, die Freunde und diejenigen, die mir nichts zu Leid gethan."

509. **τοιγάρ με . . μακαρίαν ἔθηκας** ironisch („das hätte man erwarten sollen, du hast das Gegenteil gethan"). Zu *πολλαῖς* („in den Augen vieler Frauen") *μακαρίαν* vgl. Hek. 355 *γυναιξὶ παρθένοις τ' ἀπόβλεπτος μέτα.*

513. **μόνη μόνοις**: vgl. Androm. 1221 *μόνος μόνοισιν ἐν δόμοις*, Demosth. de cor. § 137 *μόνος μόνῳ συνῄει καὶ ἐκοινολογεῖτο.*

514. **καλόν γ' ὄνειδος**: *ὄνειδος*, eine vox media, steht hier in derselben Bedeutung wie Phön. 821 *Θήβαις κάλλιστον ὄνειδος*, nur ironisch („ein schöner Ruhm wahrhaftig"). Anders Iph. A. 305 *καλόν γέ μοι τοὔνειδος ἐξωνείδισας* („was du mir zum Vorwurf machst — *λίαν δεσπόταισι πιστὸς εἶ* —, gereicht mir nur zur Ehre") und Soph. Phil. 477 *ἐκλιπόντι τοῦτ', ὄνειδος οὐ καλόν* („ein Vorwurf, der dir keine Ehre macht"). Vgl. zu Bakch. 652. — *καλόν γ' ὄνειδος* steht als Apposition zu dem Inhalt des vorhergehenden Satzes, wird aber wieder näher bestimmt durch das Folgende.

515. **ἥ**: vgl. zu 262. — *ἔσωσά σε* für *ἔσωσα αὐτόν* nach *τῷ νεωστὶ νυμφίῳ* dem Sinne entsprechend wie häufig. Vgl. Kykl. 290 *νόμος δὲ θνητοῖς ἱκέτας δέχεσθαι . ., οὐκ ἀμφὶ βουπόροισι πηχθέντας μέλη ὀβελοῖσι νηδὺν καὶ γνάθον πλῆσαι σέθεν* und zu Äsch. Prom. 322.

8. Vgl. El. 948 *ἔμοιγ' εἴη πόσις παρθενωπός, ἀλλὰ τἀνδρείου ου*.
9. *βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν νῆ* ist der griechische Grundin Betreff der Nächstenliebe. moralische Gröfse bestand bei alten Griechen in einer ebenso ränderlichen Liebe gegen seine nde als unwandelbarem Hasse n seine Feinde“ (Lessing, Laoı IV). Vgl. Archilochos fr. 65 *' ἐπίσταμαι μέγα τὸν κακῶς ρῶντα δεινοῖς ἀνταμείβεσθαι ιῖς*, Solon fr. 13, 5 (*δότε μοι*) *ι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι ικρόν· τοῖσι μὲν αἰδοῖον, τοῖσι ειὸν ἰδεῖν*, Theogn. 869 *ἔν ἔπειτα πέσοι μέγας οὐρανὸς ς ὕπερθεν χάλκεος, ἀνθρώπων α χαμαιγενέων, εἰ μὴ ἐγὼ τοῖμὲν ἐπαρκέσω οἵ με φιλεῦσιν, δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι*, Pind. Pyth. 2, 151 *φίλον εἴη φιλεῖν· ποτὶ δ' ἐχθρὸν ἅτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι ἄλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς*, Cho. 122 *πῶς δ' οὔ* (*εὐσεβές ἐστι παρὰ θεῶν*), *τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς*; Eur. fr. 1092 *ἐχθροὺς κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος*, Ion 1046 *ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος*, Herakl. 585 *πρὸς σοῦ μέν, ὦ παῖ, τοῖς φίλοις εἶναι φίλον τά τ' ἐχθρὰ μισεῖν*. Nur Sokrates oder vielmehr (vgl. Xenoph. Mem. II 6, 35) Platon erhob sich zu der geläuterten Anschauung: *οὐδαμῶς δεῖ ἀδικεῖν — οὐδὲ ἀδικούμενον ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν* (Plat. Kriton p. 49 B, vgl. Gorg. p. 469 C, Rep. p. 334 B ff.).
814. *ἔστιν* s. v. a. *πάρεστιν* („es kann nicht anders sein“).
815. *πάσχουσαν*: vgl. zu 58. Xen. Anab. I 2, 1 *Ξενίᾳ ἥκειν παραγγέλλει λαβόντα τοὺς ἄνδρας κτέ.* — *ὡς ἐγώ*: vgl. Krüger I § 62, 4 mit Anm. 3.
816. *σπέρμα* (proles) mit Beziehung auf die Mutter wie Äsch. Hik. 281, Soph. Trach. 304 u. a.
818. *γένοιό γε*: während *δέ* die

ΜΗ. ἴτω· περισσοὶ πάντες οὑν μέσῳ λόγοι.
ἀλλ' εἶα χώρει καὶ κόμιζ' Ἰάσονα· 820
εἰς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
λέξῃς δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
εἴπερ φρονεῖς εὖ δεσπόταις γυνή τ' ἔφυς.

ΧΟΡΟΣ.

Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι stroph. 1.
καὶ θεῶν παῖδες μακάρων, ἱερᾶς 825

Subjekte einander gegenübergestellt, weist *γέ* ausdrücklich auf den Gegensatz der Prädikate hin (Kränkung — endloses Unglück), denn *γέ* gehört zu dem ganzen Prädikat *γένοιο ἀθλιωτάτη γυνή*. Vgl. Fragm. Adesp. 358 *ΑΛΚΜ. Ἀνδροκτόνον γυναικὸς ὁμογενὴς ἔφυς. ΑΔΡ. Σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο.*

819. *ἐν μέσῳ* d. i. zwischen meinem jetzt feststehenden Entschlufs und der Ausführung.

820f. Medea redet ihre Dienerin und zwar, wie es nach dem folgenden Vers scheint, die Amme an. — *τὰ πιστά*: „Vertrauenssachen“.

823. *δεσπόταις*: zu 61. — *γυνή τ' ἔφυς*: vgl. zu 406. Zum Gedanken vgl. Iph. T. 1061 *γυναῖκές ἐσμεν, φιλόφρον ἀλλήλαις γένος, σῴζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται* und Hel. 329 *γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.*

824. Drittes Stasimon. Medeas Vorhaben, nach der Ausführung ihres Racheplanes nach Athen zu entfliehen, giebt dem Dichter erwünschte Gelegenheit ein im athenischen Theater gern gehörtes Lied von der Schönheit und den Vorzügen der Kephisosebene zu singen. Euripides nachahmend hat Sophokles O. K. 668 ein ähnliches Preislied an die Aufnahme des Ödipus in Attika geknüpft, passend aber das Lob attischen Greisen in den Mund gelegt. Hier ist der Gesang damit motiviert, dafs der Chor auf die Heiligkeit des attischen Bodens, den Medea zu betreten gedenkt, hinweist, um diese von ihren Mordgedanken abzuschrecken, da der reine Boden eine solche Frevlerin nicht werde tragen wollen (zweite Strophe). — Über den Rhythmus vgl. zu 410.

824f. Öfters heifsen die Athener bei Dichtern *Ἐρεχθεῖδαι* (Soph. Ai. 202 *γενεᾶς χθονίων ἀπ' Ἐρεχθειδᾶν*), *Κεκροπίδαι*, *Θησεῖδαι* (Soph. O. K. 1065), *παῖδες Κραναοῦ* (Äsch. Eum. 1012). Der erdgeborene Erechtheus (*Ἐρεχθέος τοῦ γηγενέος* Herod. VIII 55) war wie der autochthone Kekrops, dessen Leib in Schlangengestalt endigte (Apoll. III 14, 1) — die auf der Erde kriechende Schlange bezeichnet den Zusammenhang mit dem Boden —, ein Sinnbild der athenischen Autochthonie, eines Vorzugs, dessen sich die Athener in Hinblick auf die gewaltsamen Umwälzungen in den meisten anderen griechischen Staaten mit Vorliebe rühmten. Vgl. Thuk. I 2 *τὴν Ἀττικὴν ἐκ τοῦ ἐπὶ πλεῖστον διὰ τὸ λεπτόγεων ἀστασίαστον οὖσαν ἄνθρωποι ᾤκουν οἱ αὐτοὶ ἀεί.* Erechtheus wurde frühzeitig mit Erichthonios identificiert, dieser aber galt nach einer Sage als Sohn des Hephästos und der Athena (Apollod. III 14, 6) oder auch des Hephästos und der Erde (Eratosth. Katast. 13). Daher können die „Nachkommen des Erechtheus“ als *θεῶν παῖδες μακάρων* gepriesen werden. Vgl. Hom. B 546 *Ἀθήνας, δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη θρέψε Διὸς θυγάτηρ, τέκε δὲ ζείδωρος ἄρουρα.*

χώρας ἀπορθήτου τ' ἄπο φερβόμενοι
κλεινοτάταν φορβάν, αἰεὶ διὰ λαμπροτάτου
βαίνοντες ἁβρῶς αἰθέρος, ἔνθα ποθ' ἁγνὰς 830
ἐννέα Πιερίδας Μούσας λέγουσι
ξανθὰν Ἁρμονίαν φυτεῦσαι·

τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοὰς antistr. 1. 835
τὰν Κύπριν κλῄζουσιν ἀφυσσαμέναν

826 f. ἀπορθήτου nicht wie der Scholiast meint διὰ τὰς θρυλουμένας πολλὰς νίκας αὐτῶν, sondern mit Beziehung auf die Autochthonie, weil das Land niemals fremder Eroberung anheimgefallen. — ἄπο: zu 985. — κλεινοτάταν φορβάν: in Attika lehrte Demeter den Getreidebau; Triptolemos verbreitete ihn nach anderen Gegenden, womit Attika der Ausgangspunkt der Kultur und Gesittung wurde. Vgl. Isokr. Paneg. § 28.

829. διὰ λαμπροτάτου αἰθέρος ἁβρῶς βαίνοντες: die Reinheit und Durchsichtigkeit der Luft giebt dem Körper Elasticität und den Bewegungen Freiheit und Grazie (ἁβρῶς, delicate). Mit βαίνοντες ἁβρῶς vgl. 1164, Tro. 821 ἁβρὰ βαίνων. In διὰ λαμπροτάτου αἰθέρος βαίνοντες liegt zugleich eine Erklärung zu dem Folgenden; sollte ja die dicke und schwere Luft Böotiens Mangel an geistiger Empfänglichkeit und Regsamkeit zur Folge haben.

830 f. Die Musen, die nach der gewöhnlichen Sage Mnemosyne dem Kroniden in Pierien geboren (Hes. Theog. 53), werden hier Töchter der Harmonia genannt, welche sonst als Gattin des thebanischen Kadmos erscheint. Wenn der Dichter selbst diesen Mythus erfunden hat, so hat er mit den symbolischen Namen den Gedanken ausdrücken wollen, daſs die glückliche Fügung und Verbindung aller elementaren und klimatischen Verhältnisse und die Entfernung störender Gegensätze (ἁρμονία) Attika zum Musensitze geschaffen habe. — ξανθάν wie Pind. Nem. 5, 99 σὺν ξανθαῖς Χάρισσιν und wie der Musengott Apollon als χρυσέᾳ χαίταν μαρμαίρων (Ion 887) gedacht wurde.

835 ff. Weil zahlreiche Kanäle des Kephisos die Fluren und Gärten der Ebene bewässerten und befruchteten, so sagte man, daſs Aphrodite, die Göttin der Blumen und Gärten (vgl. 841), Wasser aus dem Kephisos geschöpft und damit das Land übergossen habe. Der guten Bewässerung des Landes und der Annehmlichkeit milder Temperatur (ἀνέμων ἡδυπνόους αὔρας) verdankte man das glückliche Gedeihen der Pflanzen und die reiche Vegetation der Kephisosebene, die man der Ἀφροδίτῃ ἐν κήποις zuschrieb, welche am Ilissos ein angesehenes Heiligtum hatte (Paus. I 19, 2). Vgl. Soph. O. K. 686 οὐδ' ἄυπνοι κρῆναι μινύθουσιν, Κηφισοῦ νομάδες ῥεέθρων, ἀλλ' αἰὲν ἐπ' ἤματι ὠκυτόκος πεδίων ἐπινίσσεται ἀκηράτῳ σὺν ὄμβρῳ στερνούχου χθονός· οὐδὲ Μουσᾶν χοροί νιν ἀπεστύγησαν οὐδ' ἁ χρυσάνιος Ἀφροδίτα. Was Herodot III 106 als Vorzug von Hellas rühmt τὰς ὥρας πολλόν τι κάλλιστα κεκρημένας, das gilt in hohem Grade von Attika, vgl. fr. 981 οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκραμένον ἵν' οὔτ' ἄγαν πῦρ οὔτε χεῖμα συμπίτνει. Die Kälte des Winters und die Hitze des Sommers wird durch die Seeluft gemildert, durch den heutzutage sog. ἐμβάτης, der sich gewöhnlich nachmittags zwischen zwei und drei Uhr erhebt. — ἀφυσσαμέναν: die epische Verdoppelung des σ zur Dehnung der Silbe gestatten sich die Tragiker in lyrischen Partieen. Über die zur Ergänzung einge-

χώραν ⟨κατάρδειν καὶ⟩ καταπνεῖν ἀνέμων
ἡδυπνόους αὔρας· αἰεὶ δ' ἐπιβαλλομέναν
χαίταισιν εὐώδη ῥοδέων πλόκον ἀνθέων
τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
παντοίας ἀρετᾶς ξυνεργούς.

πῶς οὖν ἱερῶν ποταμῶν stroph. 2
ἢ πόλις ἢ φυτῶν
πόμπιμός σε χώρα
τὰν παιδολέτειραν ἕξει,
τὰν οὐχ ὁσίαν μετ' ἄλλων;

setzten Worte *κατάρδειν καί* vgl. den Anhang. Zu *ἀνέμων ἡδυπνόους αὔρας* vgl. Hel. 1504 *εὐαεῖς ἀνέμων πνοάς*.

841. *ῥοδέων ἀνθέων*: schöne und zarte Blumen und Pflanzen, wie Myrten und Rosen, waren der Aphrodite heilig.

844. *τᾷ σοφίᾳ παρέδρους ἔρωτας*: vgl. Soph. Ant. 795 *ἐναργὴς βλεφάρων ἵμερος τῶν μεγάλων πάρεδρος ἐν ἀρχαῖς θεσμῶν*. Mit diesem Gedanken steht das folgende *ξυνεργούς* in Verbindung: die Neigungen wirken mit der Weisheit und der Erkenntnis zusammen und helfen ihr alles Gute vollbringen, sind darum deren Beisitzerinnen. Die Heiterkeit und Freudigkeit des Daseins erweckt in dem Menschen die Liebe zu allem Guten und Schönen, zu Kunst und Wissenschaft. Über den Eros als den inneren wissenschaftlichen Trieb vgl. fr. 897 *παίδευμα δ' Ἔρως σοφίας ἀρετῆς πλεῖστον ὑπάρχει (ἐπαρκεῖ?), καὶ προσομιλεῖν οὗτος ὁ δαίμων πάντων ἥδιστος ἔφυ θνητοῖς* und fr. 331 u. 388 *καί μ' ἔρως ἕλοι ποτὲ οὐκ εἰς τὸ μῶρον οὐδέ μ' εἰς Κύπριν τρέπων, ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς*. Auch Isokrates VII § 74 sagt von Attika: *ἐπίσταμαι γὰρ ἐν μὲν τοῖς ἄλλοις τόποις φύσεις ἐγγιγνομένας καρπῶν καὶ δένδρων καὶ ζώων ἰδίας ἐν ἑκάστοις καὶ πολὺ τῶν ἄλλων διαφερούσας, τὴν δ' ἡμετέραν χώραν ἄνδρας φέρειν καὶ τρέφειν δυναμένην οὐ μόνον πρὸς τὰς*

τέχνας καὶ τὰς πράξεις καὶ
λόγους εὐφυεστάτους, ἀλλὰ καὶ
ἀνδρίαν καὶ πρὸς ἀρετὴν πολὺ
φέροντας.

846. Zu verbinden *πῶς οὐ*
πόλις ἱερῶν ποταμῶν ἢ χώρα ἱε
φυτῶν πόμπιμός σε τὰν παιδολέ
ραν ἕξει. Zu der Stellung vo
vgl. Aristoph. Vö. 420 *κρατεῖν*
ἢ τὸν ἐχθρὸν ἢ φίλοισιν ὠφε
ἔχειν. — *πόλις ἱερῶν ποταμῶν*:
Phön. 824 *πύργος διδύμων πο*
μῶν, Iph. T. 134 *χόρτων εὐδένδ*
Εὐρώπαν, Krüg. II § 47, 5 u. 6
Der Gen. *φυτῶν* ist von *πόμπι*
regiert analog dem Gen. bei
Adjektiven auf *-ικός* (Krüg. I §
26, 9). Zu *φυτῶν* vgl. auch
Zusammenstellung Herakleid.
σοὶ καὶ πολίταις γῇ τε τῇδε καὶ
τοῖς, zu *πόμπιμος* Soph. Phil. 1
ὅσα πέμπει („aufsprossen läß
βιόδωρος αἶα. Bei den *ἱερὰ φ*
dachte der Athener vornehml
an *γλαυκᾶς παιδοτρόφου φύλ*
ἐλαίας (Soph. O. K. 701). In
Olivenpflanzungen bestand
Hauptsegen des attischen Lan
Die *μορίαι* in der Kephisoseb
waren der Athena heilig, wel
den ersten Ölbaum auf der Al
polis gepflanzt hatte. Das Gedei
dieser Pflanzungen erfleht der C
der Eumeniden in Äsch. Eum.
δενδροπήμων δὲ μὴ πνέοι βλ
φλογμός τ' ὀμματοστερὴς φυτ
μὴ περᾶν ὅρον λόπων μηδ' ἄκ
αἰανὴς ἐφερπέτω νόσος.

850. *τὰν οὐχ ὁσίαν μετ' ἄλ*
(*ἕξει*): dieser Gegensatz erweckt

σκέψαι τεκέων πλαγάν,
σκέψαι φόνον οἷον αἴρῃ.
μή, πρὸς γονάτων σε πάντῃ
πάντως ἱκετεύομεν,
τέκνα φονεύσῃς. 855
πόθεν θράσος ἢ φρενὸς ἢ antistr. 2.
χειρὶ τέκνοις σέθεν
καρδίαν πεπάσῃ
δεινὰν προσάγουσα τόλμαν;
πῶς δ' ὄμματα προσβαλοῦσα 860
τέκνοις ἄδακρυν μοῖραν
σχήσεις φόνου; οὐ δυνάσῃ,
παίδων ἱκετᾶν πιτνόντων,
τέγξαι χέρα φοινίαν
τλάμονι θυμῷ. 865

ΙΑΣΩΝ.

Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς

danken τὰν οὐχ ὁσίαν μετ' ἄλλων ων ὄντων, womit der oft ge- umten Frömmigkeit der Athener enbei ein Lob gespendet wird l. Herakleid. 901 ὦ πόλις, . . οὐ ποτε τοῦτ' ἀφελέσθαι, τιμᾶν ης· ὁ δὲ μή σε φάσκων ἐγγὺς νιᾶν ἐλαύνει, ebd. 329 f., Äsch. Eum. , Soph. O. K. 260, Thuk. II 40 f.).
54. πάντῃ πάντως, eine gewöhn- e Verstärkung (πάντῃ πάντως, ντως καὶ πάντῃ, πάντῃ καὶ πάν- , πάντῃ τε καὶ πάντως).
56 ff. θράσος ἢ φρενός für ἢ ἀσος φρενός wie an der gleichen lle der Strophe. Der Dichter nte darauf nicht sagen χειρὸς δίαν, um der Keckheit des Ent- lusses die äufsere Beherztheit That entgegenzustellen; dafür t er den Gegensatz durch die llung von χειρί hervorgehoben; an die Worte sind zu verbinden: καρδίαν πεπάσῃ (d. i. λήψῃ) χειρὶ nit der Hand") δεινὰν τόλμαν οσάγουσα τέκνοις σέθεν („oder Herz gewinnen, mit der Hand erhörtes Wagnis deinen eigenen ndern anzuthun, mit frevelhaftem agnis an deine eigenen Kinder Hand anzulegen"). Ähnlich Hipp. 188 τῷ δὲ (τῷ θεραπεύειν) συν- άπτει λύπη τε φρενῶν χερσίν τε πό- νος. Zu θράσος φρενὸς ἢ — τόλμαν vgl. Soph. Ai. 46 ποίαισι τόλμαις ταῖσδε καὶ φρενῶν θράσει; Zu τέ- κνοις τόλμαν προσάγουσα unten 991 παισὶν ὄλεθρον βιοτᾷ προσάγεις. Zu καρδίαν 1042, 1242.

861 f. ἄδακρυν μοῖραν φόνου σχή- σεις: „wie wirst du thränenlosen Anteil am Morde haben?" d. i. „wie wirst du bei der That der Thränen dich erwehren können?"

863. παίδων ἱκετᾶν πιτνόντων: eine Antike in Arles (Millin Gall. mythol. CII n. 427) stellt Medea dar, wie sie im Begriffe ist das Schwert aus der Scheide zu ziehen, während die beiden Kinder zu bei- den Seiten knieen und der ältere Knabe abwehrt, der jüngere hinter dem Gewande der Mutter Schutz sucht. Auf einer Gemme (Annali dell' inst. arch. I tav. d'agg. D 3) halten die Kinder Zweige als Zei- chen des Schutzflehens in der Hand.

866. Viertes Epeisodion (Medea und Jason). — καὶ οὖσα s. v. a. καίπερ οὖσα.

οὔ τἂν ἁμάρτοις τοῦδέ γ᾽, ἀλλ᾽ ἀκούσομαι,
τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.

ΜΗ. Ἴᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
συγγνώμον᾽ εἶναι· τὰς δ᾽ ἐμὰς ὀργὰς φέρειν
εἰκός σ᾽, ἐπεὶ νῷν πόλλ᾽ ὑπείργασται φίλα.
ἐγὼ δ᾽ ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
κἀλοιδόρησα· σχετλία, τί μαίνομαι
καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι
πόσει θ᾽, ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
γήμας τύραννον καὶ κασιγνήτους τέκνοις
ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
θυμοῦ (τί πάσχω;) θεῶν ποριζόντων καλῶς;
οὐκ εἰσὶ μέν μοι παῖδες, οἶδα δὲ χθόνα
φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων;
ταῦτ᾽ ἐννοήσασ᾽ ᾐσθόμην ἀβουλίαν
πολλὴν ἔχουσα καὶ μάτην θυμουμένη.
νῦν οὖν ἐπαινῶ σωφρονεῖν τέ μοι δοκεῖς
κῆδος τόδ᾽ ἡμῖν προσλαβών, ἐγὼ δ᾽ ἄφρων,
ᾗ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων

867. *οὔ τἄν, οὔ τοι ἄν*, vgl. 927.— *τοῦδέ γε* scil. *τοῦ ἀκούειν με, τί χρῆμα βούλει* („dessen wenigstens, dafs ich dich anhöre, sollst du teilhaftig werden"). An die Stelle der Erklärung tritt ein selbständiger Satz. Vgl. zu 1091.

869. *Ἴᾶσον*: die Anrede zeigt gleich den veränderten Ton des Gespräches.

871. *ὑπείργασται* (passivisch) scheint im Sinne von *ὑπουργεῖν, ὑπηρετεῖν* zu stehen: „nachdem wir uns gegenseitig viele Zärtlichkeiten erwiesen haben".

872. *διὰ λόγων ἀφικόμην, διελέχθην*: vgl. 1082, Tro. 916 *ἅ σ᾽ οἶμαι διὰ λόγων ἰόντ᾽ ἐμοῦ κατηγορήσειν*, Iph. A. 1194 *ταῦτ᾽ ἦλθες ἤδη διὰ λόγων*. Der bei den Tragikern sehr häufigen und auch in der Prosa gebräuchlichen Verbindung eines Verbums der Bewegung (*ἐλθεῖν ἰέναι χωρεῖν μολεῖν ἀφικνεῖσθαι*) mit *διὰ* (*φιλημάτων* Androm. 416, *πόθου, ἔχθρας, δίκης, φόβου, φόνου, κινδύνων, μόχθων, μάχης, τύχης, ὀδύνης*) liegt ebens[o] lokale Vorstellung zu Grun[d]e der Redensart *πέρας γὰρ οὐ[κ]* *διὰ γλώσσης ἰόν* Hik. 112. I § 68, 22, 2.

876. *ἡμῖν* ist von *συμφορ[ώτατα]* abhängig. Zu dem Gedanke[n] 559 ff.

877. Vgl. 563. *γήμας τύρ[αννον]* eine Fürstin heiratend.

879. *τί πάσχω;* „was w[andelt] mich an, was überkommt [mich], was fällt mir ein?" Vgl. Hek[.] *οὗτος, τί πάσχεις;*

880 f. *χθόνα φεύγοντας* (h[...] los): vgl. 565 und 551 ff. *ἡ[...]* *Ἰωλκίαν* (551).

882. *ἐννοήσασα* wie Soph. [...] 578 *τοῦτ᾽ ἐννοήσασ᾽, ὦ φίλ[...]* Vgl. *ἐννόει* El. 639. Gebräuch[lich] ist die passive Form.

884 f. *ἐπαινῶ* „gebe ich [...] Beifall". — *σωφρονεῖν*: vgl. 5[...] *ἐγὼ δ᾽ ἄφρων, εἰμί*, vgl. zu [...]

886. Vgl. 586 ff. — *ᾗ* is[t von] *μετεῖναι* abhängig.

καὶ ξυμπεραίνειν καὶ παρεστάναι λεχοῖ
νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν,
γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς 890
οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
παριέμεσθα, καί φαμεν κακῶς φρονεῖν
τότ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τόδε.
ὦ τέκνα τέκνα, δεῦτε, λείπετε στέγας,
ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε 895
πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
σπονδαὶ γὰρ ἡμῖν καὶ μεθέστηκεν χόλος.
λάβεσθε χειρὸς δεξιᾶς· — οἴμοι, κακῶν

888. *κηδεύουσαν*: zu *ξυμπεραίνειν* —*ἥδεσθαι* ist bei geändertem Subjekt *ἥν* (*μὲ*) statt *ἥ* zu denken.

889. *ἐσμὲν οἷόν ἐσμεν*: vgl. 1011, Iph. T. 575, Tro. 630 *ὄλωλεν ὡς ὄλωλε*, El. 85 *πράσσονθ' ἃ πράσσω*, 289 *ἔκυρσεν ὡς ἔκυρσεν*, 1122 *δέδοικα γάρ νιν ὡς δέδοικ' ἐγώ*, Or. 89 *ἔπλευσ' ὅπως ἔπλευσα θεομανεῖ πότμῳ*, 660 *ἐμοῦ πράσσοντος ὡς πράσσω τὰ νῦν*, Iph. A. 649 *γέγηθά σ' ὡς γέγηθ' ὁρῶν*, 1182 *δεξόμεθα δέξιν ἥν σε δέξασθαι χρεών*, Soph. O. K. 273 *ἱκόμην ἵν' ἱκόμην*, 336 *εἴσ' οὕπερ εἰσί*, O. T. 1376 *βλαστοῦσ' ὅπως ἔβλαστε*, Trach. 1234 *ὡς ἔχεις ἔχειν*, Äsch. Ag. 1287 *πράξασαν ὡς ἔπραξεν*. — *γυναῖκες* „wir sind Frauen: damit ist genug gesagt".

890. *χρῆν*, nämlich bei unserer früheren Unterredung. — *κακοῖς*: „durch Böses, in Bösem" (in Schmähungen).

891. *ἀντιτείνειν*, vgl. fr. 654 *δυοῖν λεγόντοιν, θατέρου θυμουμένου, ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος*.

894. Medea ruft durch das Thor ins Haus hinein. In ähnlicher Weise ruft Hekabe Hek. 171 ihre Tochter Polyxene, Or. 111 Helene ihre Tochter Hermione heraus. Die Kinder kommen darauf in Begleitung des Pädagogen aus dem Hause.

896 f. In *διαλλάχθητε τῆς πρόσθεν ἔχθρας εἰς φίλους* („versöhnet euch durch Aufgeben der früheren Feindschaft gegen Freunde") ist der Gen. von dem Begriff *ἀλλάχθητε* abhängig; ebenso Soph. Ai. 744 *θεοῖσιν ὡς καταλλαχθῇ χόλου*; Andok. *π. τῆς ἑαυτοῦ καθόδου* § 26 *διαλλαχθέντι τῆς ἔχθρας*. Die Worte gelten mehr von der Mutter als von den Kindern, denen die Mutter den Haſs nur eingeredet haben kann. — *ἔχθρας εἰς φίλους* enthält denselben Gegensatz wie *εἰς φίλους ἐχθρὸς ὤν* und bezeichnet die Feindschaft als eine thörichte und ungerechte.

899. *οἴμοι — κεκρυμμένων*: *τοῦτο ἠρέμα καὶ καθ' ἑαυτὴν ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου κατὰ τῶν παίδων*. Diese Erklärung des Schol. ist richtiger als die andere: *δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον ⟨νοεῖν⟩ πρὸς τοῦτον ὅτι „ἀγωνιῶ καὶ πάνυ τετάραγμαι ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται οὗτοι σὺν ἡμῖν πολὺν χρόνον", ὡς ἕτερον μὲν αὐτὴν νοεῖν, ὅπερ ἔμελλε δρᾶν, ἑτέρως δὲ ἐκδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ κατ' ἀνθρώπους*. Es sind nicht Worte, die Jason nicht hören darf, sondern Worte, die für Jason unverständlich sind. — Wieder zu den Kindern, welche dem Vater die Hand reichen, gekehrt spricht Medea die folgenden doppelsinnigen Worte *ἆρ', ὦ τέκν', οὕτω*

ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων — 900
ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡς ἀρτίδακρύς εἰμι καὶ φόβου πλέα.
χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη
ὄψιν τέρειναν τήνδ' ἔπλησα δακρύων. 905

ΧΟ. κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ·
καὶ μὴ προβαίη μεῖζον ἢ τὸ νῦν κακόν.

ΙΑ. αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος,
γάμους παρεμπολῶντος ἀλλοίους, πόσει. 910
ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
ἔγνως δὲ τὴν νικῶσαν ἀλλὰ τῷ χρόνῳ
βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
ὑμῖν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν· 91

κτέ., welche Jason als ängstliche Sorge um das Leben der Kinder auffassen kann, während Medea an den bevorstehenden Tod der Kinder denkt. Diese Gedanken pressen ihr Thränen aus, für welche sie einen falschen Beweggrund vorgiebt, einen Beweggrund, der die Aufrichtigkeit ihrer Reue bekräftigen soll (die weiche Stimmung der herzlichsten Versöhnung nach langem Hader).

903 f. *ἀρτίδακρυς*: *εὐχερὴς πρὸς δάκρυον*. Hesych. — *νεῖκος πατρὸς ἐξαιρουμένη* („des Haders mit eurem Vater mich entledigend"): vgl. 1050 *ὀργὰς ἀφῄρει*.

905. *ὄψιν τήνδε*, mein Antlitz. — *ἔπλησα*: der Aor. wie bei *ἐδάκρυσα*, *ᾤμωξα* (zu 223); ebenso *ὡρμήθη δάκρυ* im folgenden Verse.

906 f. Der eingeweihte Chor ist gerührt wie Medea bei dem Anblick der zarten Kinder, denen das Schrecklichste bevorsteht. Seine Worte sind aber so gehalten, daſs sie dem Jason die Verstellung der Medea nicht verraten. — *χλωρὸν δάκρυ*, das Homerische *θαλερὸν δακρυ* (Iph. A. 40), Soph. Trach. 94 *ἀδινῶν χλωρὰν δακρύων ἄχναν*. — *κακὸν προβαίη μεῖζον* d. i. *προβαίη*, *ὥστε μεῖζον γένεσθαι ἢ τὸ νῦν* (*κακόν*).

910. *παρεμπολῶντος*, *ἐμπορευομένου παρὰ τοὺς ὑπάρχοντας*. Zu der Verbindung *ὀργὰς ποιεῖσθαι πόσει*, *παρεμπολῶντος* (*αὐτοῦ*) *ἀλλοίους γάμους* vgl. Hel. 58 *σὺν ἀνδρί*, *γνόντος*, Soph. Trach. 803 *τοσαῦτ' ἐπισκήψαντος*, *θέντες σφε — ἐκέλσαμεν*, auch Krüger I § 47, 4, 3. Doch vgl. den Anhang.

912. *ἀλλὰ τῷ χρόνῳ*: d. i. *εἰ μὴ παραχρῆμα*, *ἀλλὰ τῷ χρόνῳ*, vgl. 942, 1073, Soph. Trach. 201 *ἔδωκας ἡμῖν ἀλλὰ σὺν χρόνῳ χαράν*, Phil. 1041 *τίσασθε τίσασθ' ἀλλὰ τῷ χρόνῳ ποτέ*, El. 1013 *αὐτὴ δὲ νοῦν σχὲς ἀλλὰ τῷ χρόνῳ ποτέ*.

913. *σώφρονος*, weil Medea ihre leidenschaftliche Stimmung bewältigt und der besseren Einsicht Gehör gegeben habe.

914. *ὑμῖν*: der ethische Dativ statt eines von *προμηθίαν ἔθετο* (wie es dann heiſsen müſste) abhängigen Gen.

οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής·
ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος 920
μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
στρέψασα λευκὴν ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
I. οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι. 925
τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις;
I. ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
εἰσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
θάρσει, γύναι· τὰ τῶνδε θήσομαι καλῶς.

16. Jason denkt vorderhand an ere Rückkehr der Kinder aus Verbannung.·

17 f. τὰ πρῶτα: vgl. Bakch. 275 γὰρ τὰ πρῶτ' ἐν ἀνθρώποισι, 1248 τὰ πρῶτα κατὰ Πελασγὸν Ἀργείων, Aristoph. Frö. 451 :ὶν τὰ πρῶτα τῆς ἐκεῖ — μοχθη-, Herod. VI 100 Αἰσχίνης ὁ ·ωνος ἐὼν τῶν Ἐρετριέων τὰ τα, III 157 πάντα ἦν ἐν τοῖσι υλωνίοισι Ζώπυρος, Lucret. I 86 ıa virorum. — ἔτι „einmal noch", ›esonders in der Verbindung ἢ ἔτι (Äsch. Prom. 180, 939, Arih. Plut. 608, Ekkl. 1034), vgl. rom. 491 ἔτι δὲ μετατροπὰ τῶνδ' σιν ἔργων. — ἐξεργάζεται: das ı., weil diese Thätigkeit des ›n bereits im Gange ist.

!0 f. ἥβης (gen. defin.) τέλος: Ziel, welches in der ἥβη liegt wohlerzogenen Jünglingen her-ɜwachsen), vgl. θανάτου τελευτά θανάτου τέρμα Hipp. 140, σωτη-τέρμα Or. 1343. — ἐχθρῶν τῶν ν ὑπερτέρους: vgl. Soph. Ant. τούτου γὰρ εἵνεκ' ἄνδρες εὔ-:αι γονὰς κατηκόους φύσαντες ᛌόμοις ἔχειν, ὡς καὶ τὸν ἐχθρὸν ɤμύνωνται κακοῖς καὶ τὸν φίλον ισιν ἐξ ἴσου πατρί. Für die Zu-,uer enthalten die Worte des ›n tragische Ironie.

922 f. αὕτη: vgl. Alk. 773 οὗτος, τί σεμνὸν καὶ πεφροντικὸς βλέπεις; Der Schol. bemerkt: ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι· οὐ γὰρ οἰκεῖον τῷ προσώπῳ τούτῳ . . ἀπιθάνως γὰρ τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα εἰσάγει. ἄμεινον δὲ Ὅμηρος (Od. 19, 211) „ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν". Vgl. dazu die erste Hypothesis S. 33. Die Bemerkung ist nicht richtig. S. Einleitung S. 13. — Vgl. Hel. 1189 χλωροῖς τε τέγγεις δάκρυσι τὴν παρηίδα κλαίουσα. — στρέψασα . . παρηίδα, um ihre Thränen zu verbergen.

925. οὐδὲν entspricht dem τί, wie bei ἐννοουμένη zu ergänzen ist δακρύοις τέγγω κόρας. Vgl. Iph. T. 780 ΙΦ. τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς; ΟΡ. οὐδέν. Die Worte der Medea enthalten dieselbe Zweideutigkeit wie 901.

928. οἶκτος, εἰ: ebenso prägnant gesagt (ich wurde gerührt bei der Überlegung, ob —) wie δειμαίνω τί ποτ' ἀναστένεις Hek. 184, vgl. oben zu 184.

929. θήσομαι καλῶς wie Androm. 378 θήσομαι τἄμ' ὡς ἄριστα, Hipp. 709 ἐγὼ δὲ τἀμὰ θήσομαι καλῶς, Herakl. 605 πρὶν τάδ' εὖ θέσθαι, Bakch. 49 τἀνθένδε θέμενος εὖ.

ΜΗ.	*δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·*	930
	γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.	
	ἀλλ' ὧνπερ εἵνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,	
	τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.	
	ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,	
	κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,	935
	μήτ' ἐμποδὼν σοὶ μήτε κοιράνοις χθονὸς	
	ναίειν, δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις,	
	ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαροῦμεν φυγῇ,	
	παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερί,	
	αἰτοῦ Κρέοντα τήνδε μὴ φεύγειν χθόνα.	940
ΙΑ.	*οὐκ οἶδ' ἂν εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.*	
ΜΗ.	*σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς*	
	γυναῖκα παῖδας τήνδε μὴ φεύγειν χθόνα.	
ΙΑ.	*μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγώ.*	
ΜΗ.	*εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.*	945
	συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·	
	πέμψω γὰρ αὐτῇ δῶρ' ἃ καλλιστεύεται	

930. *δράσω τάδ'* wie 1019.

931. *ἐπὶ* (bestimmt zu) *δακρύοις ἔφυ*: vgl. Hipp. 493 *εἰ μὲν γὰρ ἦν σοι μὴ 'πὶ συμφοραῖς βίος*, fr. 322 *ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ*. Zu dem Gedanken vgl. Herakl. 536 *τὸ θῆλυ γάρ πως μᾶλλον οἰκτρὸν ἀρσένων*, Soph. Ai. 580 *κάρτα τοι φιλοίκτιστον γυνή*. Medea will mit dieser Bemerkung sagen „du darfst in meinem Weinen nicht Mangel an Vertrauen finden".

933. *μνησθήσομαι* „mentionem faciam" (*μεμνήσομαι* „recordabor").

934. *τυράννοις*: zu 61. — *ἀποστεῖλαι* sagt jetzt Medea, nicht *ἐκβαλεῖν*.

935. *τάδε* vor einem epexegetischen Infinitiv (nicht verschieden von *τόδε*) wie Androm. 370, Hipp. 466, 475, Iph. A. 57.

939. *παῖδες* (wenn es nicht ursprünglich *παῖδας* geheifsen hat) wie Soph. Ant. 76 *σοὶ δ' εἰ δοκεῖ* für *σὺ δέ, εἰ δοκεῖ σοι*, Liv. 25, 38 a vobis quoque profecto si quis quaerat . ., nihil aliud respondeatis für vos quoque si etc.

941. Vgl. Alk. 48 *οὐ γὰρ οἶδ' ἂν* [illegible] *εἰ πείσαιμί σε*, Krüger I § 69, 7, 5.

942. *ἀλλά*: vgl. 912, Hek. 391 *ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε*, Herakleid. 565 *σὺ δ' ἀλλὰ τοῦδε χρῄζε*[illegible], Phön. 1667 *σὺ δ' ἀλλὰ νεκρῷ λουτρ*[illegible] *περιβαλεῖν ἔα*, vollständig Hel. 98[illegible] *ἐγώ σφ' ἀπάξομαι, εἰ μὴ πρὸς οἴκους δυνάμεθ', ἀλλὰ πρὸς νεκρούς*. — *αἰτεῖσθαι πατρὸς* wie 1154 *παραιτήσῃ πατρός*. Aber vgl. den Anhang.

944. *σφέ*, *τὴν γυναῖκα* (ich hoffe sie zu überreden), nicht *δοξάζω τὴν γυναῖκα πείσειν τὸν πατέρα*, wie Vers 946 zeigt.

945. *τῶν ἄλλων μία* ist aus der Verbindung zweier Vorstellungen *τῶν γυναικῶν μία* und *τοιαύτη οἷαι αἱ ἄλλαι γυναῖκες* entstanden. Zum Gedanken vgl. 962 f., Schol. *εἴπερ φίλανδρός ἐστι, πάντα σοι πεισθήσεται ἡ Γλαύκη.*

946 f. Vgl. Ion 321 *εἰ πόνου μοι ξυλλάβοι.* — Zu verbinden: *πέμψω παῖδας φέροντας δῶρα αὐτῇ.* — *καλλιστεύεται τῶν νῦν*: vgl. Hipp. 1009 *πότερα τὸ τῆσδε σῶμα καλλιστεύεται πασῶν γυναικῶν;*

τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγώ, πολὺ
[λεπτόν τε πέπλον καὶ πλόκον χρυσήλατον]
παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν 950
κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία
ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου
κεκτημένη τε κόσμον ὅν ποθ' Ἥλιος
πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς. 955
λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας
καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Ἀ. τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
δοκεῖς σπανίζειν δῶμα βασιλικὸν πέπλων, 960
δοκεῖς δὲ χρυσοῦ; σῷζε, μὴ δίδου τάδε.
εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
γυνή, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
Μ. μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς. 965
κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός,
νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους
πατρὸς νέαν γυναῖκα, δεσπότιν δ' ἐμήν, 970

949. Aus 786.
950 f. *ἀλλ' — τινά*: der Weisung gt eine von den Dienerinnen, lche Medea begleiten.
953. *ἀνδρός τε* d. h. „wenn sie m trefflichsten Gatten, den sie dir gefunden hat, auch noch den rrlichsten Schmuck erhält". *ἀνὸς ἀρίστου* (*ὄντος*) steht präditiv zu *σοῦ* und *ὁμευνέτου* zu *ἀνὸς ἀρίστου σοῦ* (*τυχοῦσα*).
955 f. *οἷς*: bei Eurip. noch *ὧν όχων* Hel. 1124, *πατρὸς οὗ* Anom. 53, *ἑῶν πέπλων* El. 1206, vgl. üger II § 25, 3, 2. — *φερνάς*: Iochzeitsgeschenke" mit Beziehng auf *νύμφῃ*.
958. *οὔτοι μεμπτά*: *τοῦτο διπλῆν ει τὴν ἔννοιαν, μίαν μέν, ἣν ὁ σων ἐκδέχεται, ὅτι „οὐκ ἀπόβλητα τῇ τὰ δῶρα, ἀλλὰ θαυμαστά", ἑτέραν δέ, ἣν αὐτὴ κρύπτει ἀντὶ τοῦ „οὐ γελάσει τὸ δῶρον ὡς ἀσθενές· ἀναιρήσει γὰρ αὐτήν"*.
960. *δοκεῖς — δοκεῖς δέ*: vgl. 99.
963. *προθήσει, ἡμᾶς, τὸν ἡμέτερον λόγον*.
964. *μή μοι σύ*: vgl. *μὴ σύ γε* Phön. 532, Hek. 408, Ion 1335, Aristoph. Ri. 19 *μή μοί γε, μή μοι, μὴ διασκανδικίσῃς*. Krüger I § 62, 3, 12. — *λόγος*: Plat. Rep. p. 390 E *οὐδ' ᾀστέον αὐτοῖς ὅτι „δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας"*, Ovid. d. art. am. III 653 munera, crede mihi, capiunt hominesque deosque; placatur donis Iuppiter ipse datis.
966 f. *κείνης . . τυραννεῖ* „ihr gehört also der Schmuck und für sie hat er einen Zweck". — *κεῖνα* („das dortige") s. v. a. *τὰ ἐκείνης*.

ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
εἰς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν
εὐάγγελοι γένοισθε πράξαντες καλῶς. 975

ΧΟΡΟΣ.

Νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζόας, stroph. 1.
οὐκέτι· στείχουσι γὰρ ἐς φόνον ἤδη.
δέξεται νύμφα χρυσέων ἀναδεσμᾶν
δέξεται δύστανος ἄταν·
ξανθᾷ δ' ἀμφὶ κόμᾳ θήσει τὸν Ἅιδα 980
κόσμον αὐτὰ χεροῖν λαβοῦσα.

πείσει χάρις ἀμβρόσιός τ' αὐγὰ πέπλον antistr. 1.
χρυσότευκτόν τε στέφανον περιθέσθαι·

972. *τοῦδε γὰρ μάλιστα δεῖ*, angeblich damit Glauke die Schönheit der Gaben um so besser erkenne und sich um so leichter zur Fürbitte für die Kinder bewegen lasse, in Wirklichkeit damit das Gift seine Wirkung thue. Ebenso doppelsinnig ist das Folgende.

974 f. Zu verbinden *μητρὶ δὲ εὐάγγελοι γένοισθε* (*τούτων*) *ὧν ἐρᾷ τυχεῖν*. Der Gen. ist von *εὐάγγελοι* (wie von *ἄγγελοι*) abhängig. Vgl. Äsch. Ag. 651 *σωτηρίων δὲ πραγμάτων εὐάγγελον*. — *πράξαντες καλῶς*: „nachdem ihr eure Sache gut gemacht" (doppelsinnig).

975. Jason geht mit den Kindern, welche von dem Pädagogen begleitet werden, ab (durch den rechten Zugang der Bühne).

976. Viertes Stasimon. Der Chor spricht seine Befürchtungen und Empfindungen aus inbetreff dessen, was teils im Werke ist, teils demnächst geschehen soll. — Über den Rhythmus vgl. zu 410. Der stille Schmerz, der sich hier in der dorischen Strophe ausspricht, klingt an den Ton der daktylo-epitritischen Threnen an (Westphal).

976. *νῦν ἐλπίδες*: *ἐκ τοῦ ἀπελθεῖν τὰ δῶρα πείθεται ὁ χορός, ὅτι μέγα κακὸν γενήσεται, ἐξ οὗ ἀναγκασθήσεται ἡ Μήδεια πάντως φονεῦσαι τὰ τέκνα*. Schol. Aber s. den Anh.

978. *δέξεται .. δέξεται δύστανος*: die affektvolle Wiederholung von *δέξεται* hebt den Begriff *ἄταν*. Vgl. oben 111, unten 1273, Hipp. 836 *τὸ κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας μετοικεῖν σκότῳ*, Hik. 622 *εἰδείης ἂν φίλων εἰδείης ἂν τύχας*, Bakch. 576 *κλύετ' ἐμᾶς κλύετ' αὐδᾶς*, Hek. 1064 *τάλαιναι, κόραι τάλαιναι Φρυγῶν*, Alk. 252 *ὁρῶ δίκωπον ὁρῶ σκάφος*, Phön. 1060 *γενοίμεθ' ὧδε ματέρες γενοίμεθ' εὔτεκνοι*, Or. 1537 *ἕτερον εἰς ἀγῶν' ἕτερον αὖ δόμος φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πίτνει*, Äsch. Sept. 156 *κλύετε παρθένων κλύετε πανδίκως χειροτόνους λιτάς*, 887 *δι' ὧν αἰνομόροις δι' ὧν νεῖκος ἔβα*. — *ἀναδεσμᾶν*: *ἀναδέσμη· μίτρα, ἀνάδημα· οἱ δὲ εἶδος κόσμου ἐπὶ κεφαλῆς*. Hesych.

980 f. *τὸν Ἅιδα κόσμον*: vgl. Bakch. 1156 *τὰν θηλυγενῆ στολὰν νάρθηκά τε πιστὸν Ἅιδαν ἔλαβεν εὔθυρσον* u. zu 985. — *αὐτὰ χεροῖν λαβοῦσα* bezieht sich auf den durch *Ἅιδα* angezeigten Gedanken: „mit eigener Hand wird sie den Tod sich anlegen".

νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει. 985
τοῖον εἰς ἕρκος πεσεῖται
καὶ μοῖραν θανάτου δύστανος· ἄταν δ'
οὐχ ὑπερφεύξεται ⏑–⏓.

σὺ δ', ὦ τάλαν, ὦ κακόνυμφε κηδεμὼν τυράννων, str. 2. 990
παισὶν οὐ κατειδὼς
ὄλεθρον βιοτᾷ προσάγεις ἀλόχῳ
τε σᾷ στυγερὸν θάνατον.
δύστανε, μοίρας ὅσον παροίχῃ. 995

μεταστένομαι δὲ σὸν ἄλγος, ὦ τάλαινα παίδων ant. 2.

985. νερτέροις πάρα: in lyrischen ellen gestatten sich die tragischen chter die Nachstellung der Präpoion ohne nachfolgendes Attribut ch dem Vorgange des Epos; in imetern gewöhnlich nur dann, nn die Präposition an das Ende s Verses zu stehen kommt. — μφοκομήσει absolut (ἑαυτήν): vgl. 6 φερνάς, Hipp. 552 φονίοις ὑμεlοις, Or. 1109 Ἅιδην νυμφίον κεημένη, Iph. A. 461 Ἅιδης νιν ὡς κε νυμφεύσει τάχα, Herakl. 484 ἦην κομίζων πενθερόν, κῆδος ρόν, Soph. Ant. 654 μέθες τὴν ἰδ' ἐν Ἅιδου τήνδε νυμφεύειν . Derselbe Gedanke ist auf den en Einleitung S. 20 angegebenen rkophagreliefs dadurch versinnlicht, daſs der Hymenäos als desgenius dargestellt ist.

986. εἰς ἕρκος mit Beziehung auf s vergiftete Gewand, welches auke wie ein Netz umschlieſsen d festhalten wird. So nennt rakles Soph. Trach. 1052 das rgiftete Gewand, welches ihm ianeira zugesandt hat, ὑφαντὸν φίβληστρον und sagt davon: ευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν χάτας βέβρωκε σάρκας πλεύμονός ἀρτηρίας ῥοφεῖ συνοικοῦν. ἐκ χλωρὸν αἷμά μου πέπωκεν ἤδη ι . . διέφθαρμαι δέμας τὸ πᾶν, ράστῳ τῇδε χειρωθεὶς πέδῃ. — ὶ μοῖραν θανάτου ist in freier eise zu ἕρκος hinzugesetzt, um e Folge von εἰς ἕρκος πεσεῖται zu bezeichnen („das Netz wird ihr ein Todeslos sein").

988. ὑπερφεύξεται: die Zusammensetzung mit ὑπέρ bezieht sich auf die Vorstellung des umschlieſsenden Netzes, vgl. Äsch. Ag. 371 ὑπερτελέσαι . . γάγγαμον ἄτης παναλώτου, Pers. 98 φιλόφρων γὰρ παρασαίνει βροτὸν εἰς ἄρκυας ἄτας, τόθεν οὐκ ἔστιν ὑπὲρ . . ἐξαλύξαι. Ein dieser Vorstellung entsprechendes Wort ist nach ὑπερφεύξεται ausgefallen, z. B. πάναγρον.

990. κακόνυμφε (vgl. 206) κηδεμὼν τυράννων: „der du durch unselige Vermählung in die königliche Verwandtschaft (κῆδος 885) getreten bist".

991 f. παισὶν . . βιοτᾷ: ἀντὶ τοῦ „τῇ ζωῇ τῶν παίδων" Schol. Vgl. Herakl. 179 Γίγασι πλευροῖς πτήν' ἐναρμόσας βέλη, Äsch. Pers. 820 θῖνες δὲ νεκρῶν καὶ τριτοσπόρῳ γονῇ ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν, Krüger II § 46, 16, 3.

995. μοίρας παροίχῃ: „du irrst ab von deinem Verhängnis", „täuschest dich in dem was dir beschieden ist" (ὅσον τοῦ καθήκοντος ἐξέδραμες ὡς μὴ συνιέναι ὅτι ἐπὶ φόνον τὰ τέκνα σου ἄγεις Schol.). Vgl. das vorhergehende οὐ κατειδώς und Äsch. Hik. 461 ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι (ab huius controversiae natura aberro).

996. μεταστένομαι: μετά hat die in Composita gewöhnliche Bedeutung des Wechsels („abwechselnd

μᾶτερ, ἃ φονεύσεις
τέκνα νυμφιδίων ἕνεκεν λεχέων,
ἅ σοι προλιπὼν ἀνόμως — 1000
ἄλλᾳ ξυνοικεῖ πόσις συνεύνῳ.

ΠΑΙΔΑΓΩΓΟΣ.

Δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς,
καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ἔα.
τί συγχυθεῖσ' ἕστηκας ἡνίκ' εὐτυχεῖς; — 1005
[τί σὴν ἔστρεψας ἔμπαλιν παρηίδα,
κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;]

ΜΗ. αἰαῖ.
ΠΑΙ. τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
ΜΗ. αἰαῖ μάλ' αὖθις. ΠΑΙ. μῶν τιν' ἀγγέλλων τύχην
οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου; — 1010
ΜΗ. ἤγγειλας οἷ' ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑΙ. τί δὴ κατηφὲς ὄμμα καὶ δακρυρροεῖς;
ΜΗ. πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ

beklage ich", στένομαι δὲ αὖ), vgl. Hek. 211 καὶ σοῦ μέν, μᾶτερ, δυστάνου κλαίω πανδύρτοις θρήνοις, τὸν ἐμὸν δὲ βίον, λώβαν λύμαν τ', οὐ μετακλαίομαι. Das Medium στένεσθαι auch Bakch. 1372.

1002. Fünftes Epeisodion (Pädagog u. Medea. Medea. Bote u. Medea. Chorführer u. Medea).

1002 f. ἀφεῖνται παῖδες φυγῆς nach der Konstruktion ἀφιέναι τινὰ φυγῆς; anders 1155. Vgl. Hek. 1292 τῶνδ' ἀφειμένοι πόνων. — χεροῖν ἐδέξατο, wie es nötig ist, vgl. 973.

1004. τὰ ἐκεῖθεν eigentlich „was das betrifft was von dorther kommt" („von jener Seite"). — Unwillkürlich weist dieses Wort darauf hin, daſs das Unglück von einer anderen Seite kommen wird. — ἔα: der Pädagog ist überrascht, daſs seine Meldung einen ganz anderen Eindruck auf Medea macht als er erwartet hat.

1006 f. Aus 923 f.

1009. αἰαῖ μάλ' αὖθις wie ὤμοι μάλ' αὖθις Hek. 1037, οἲ 'γὼ μάλ' αὖθις Or. 1020, ὠὴ μάλ' αὖθις Phön. 1069. Die Verbindung μάλ' αὖθις (gar abermal) findet sich häufig. — τύχην ist bestimmt durch οὐκ οἶδα („melde ich ein mir unbekanntes Geschick?") — δόξα εὐάγγελος s. v. a. δόξα εὐαγγελίου, vgl. Äsch. Ag. 274 εὐαγγέλοισιν ἐλπίσιν, Eur. Phön. 1217 ἐξ εὐαγγέλου φήμης, Or. 1571 βοηδρόμου σπουδῆς, Iph. A. 1042 χρυσεοσάνδαλον ἴχνος, Phön. 338 κηδοποιὸν ἀδονάν, El. 126 πολύδακρυν ἀδονάν, Herakl. 1272 τετρασκελῆ κενταυροπληθῆ πόλεμον, Ion 664 βουθύτῳ σὺν ἡδονῇ, 987 γηγενῆ μάχην, Soph. Ant. 999 θᾶκον ὀρνιθοσκόπον, Trach. 609 ἡμέρᾳ ταυροσφάγῳ, O. K. 1062 ῥιμφαρμάτοις ἁμίλλαις.

1011. Vgl. zu 889.

1012. κατηφὲς (ἐστιν) ὄμμα: Herakleid. 633 τί χρῆμα κεῖσαι καὶ κατηφὲς ὄμμ' ἔχεις;

1013. πολλή μ' ἀνάγκη nämlich δακρυρροεῖν; ebenso Phön. 1674 πολλή σ' ἀνάγκη (γαμεῖσθαι).

κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.

[. θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι. 1015

. ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.

[. οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων·
κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

: δράσω τάδ'. ἀλλὰ βαῖνε δωμάτων ἔσω
καὶ παισὶ πόρσυν' οἷα χρὴ καθ' ἡμέραν. 1020
ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
καὶ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ
οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι·
ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγάς,
πρὶν σφῷν ὄνασθαι κἀπιδεῖν εὐδαίμονας, 1025

14. κακῶς φρονοῦσ' ἐμηχανη-
ν (θεοὶ hat untergeordnete Be-
ung im Sinne von σὺν θεοῖς):
ς λέγει προπέτειαν ἑαυτῆς κατα-
ιοῦσα καὶ ἐμέμψατο ἑαυτῇ
τῇ τῶν δώρων ἀποστολῇ. εἰ
ἔμελλεν ἀποθανεῖν ἡ Γλαύκη,
κη ἦν φονεῦσαι τὴν Μήδειαν
ιυτῆς τέκνα, ἵνα μὴ ὑπὸ ἄλλων
ι γένηται, ὅπερ αὐτὴ ἐλυπεῖτο
νοοῦσα, αὐτὸς δὲ (der Pädagog)
αὐτὴν ὀδύρεσθαι, ὅτι φυγὰς
ιε γίνεσθαι (und zwar ohne ihre
er, vgl. 1017). Schol. Auch hier
κακῶς φρονοῦσα verschieden
fafst werden („in schlimmer
ht gegen andere — unklug
eigenen Schaden").

15 f. κάτει — κατάξω: die Pointe
in der doppelten Bedeutung,
ie κατά in solchen Composita
n kann: „in die Heimat aus
erbannung" und „hinunter in
Unterwelt" (εἰς Ἅιδου δόμους
ξειν Alk. 25). — πρὸς τέκνων,
τέκνων, weil κάτει den Sinn
καταχθήσῃ hat, Krüg. I § 52,

17 f. Der Pädagog, welcher in
Worten der Medea nichts an-
ı erkennt als Unglauben an die
hm geäufserte Hoffnung („eher
h zurückgeführt werde, werde
ndere zurückführen" d. h. „ich
e niemals zurückkehren dür-
tröstet mit Gemeinplätzen. Der
nke „solamen miseris socios
habuisse malorum" kehrt bei den
Tragikern öfters wieder: Hipp. 834
οὐ σοὶ τάδ', ὦναξ, ἦλθε δὴ μόνῳ
κακά· πολλῶν μετ' ἄλλων ὤλεσας
κεδνὸν λέχος, Alk. 416 Ἄδμητ',
ἀνάγκη τάσδε συμφορὰς φέρειν·
οὐ γάρ τι πρῶτος οὐδὲ λοίσθιος
βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες,
ebd. 892, 931, Androm. 1041 οὐχὶ
σοὶ μόνᾳ δύσφρονες ἐπέπεσον, οὐ
φίλοισι λῦπαι, Hel. 464, Soph. El.
153 οὔτοι σοὶ μούνᾳ, τέκνον, ἄχος
ἐφάνη βροτῶν. Vgl. Cic. Tusc. III
§ 33 ne illa quidem firmissima con-
solatio est, quamquam et usitata
est et saepe prodest: Non tibi hoc
soli. Ebenso häufig ist der andere
Gedanke χρεὼν τὰ θεῖα θνητοὺς
ὄντας εὐπετῶς φέρειν (Soph. fr. 526),
vgl. fr. 37 τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος
σοφός, 98 ἀλλ' εὖ φέρειν χρὴ συμ-
φορὰς τὸν εὐγενῆ, 1075 θνητὸς γὰρ
ὢν καὶ θνητὰ πείσεσθαι δόκει.

1020. οἷα χρὴ καθ' ἡμέραν d. i.
τὰ καθ' ἡμέραν χρήσιμα, ἐπιτήδεια.

1021. Während der Pädagog der
Weisung der Medea gemäfs ins Haus
abgeht, hält Medea die Kinder,
welche ihr die Hand zum Abschied
reichen, zurück. Schol. λέγει ἀσή-
μως τὸν Ἅιδην καὶ πάντα δὲ τὰ
ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ. Bei δῶμα
scheint diese Zweideutigkeit noch
nicht beabsichtigt zu sein, da πόλις
dann ungeeignet wäre.

1025. ὄνασθαι bedeutet weniger

πρὶν λουτρὰ καὶ γυναῖκα καὶ γαμηλίους
εὐνὰς ἀγῆλαι λαμπάδας τ' ἀνασχεθεῖν.
ὢ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας.
ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις, 1030
στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
πολλὰς ἐν ὑμῖν γηροβοσκήσειν τέ με
καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ 1035
γλυκεῖα φροντίς. σφῷν γὰρ ἐστερημένη
λυπρὸν διάξω βίοτον ἀλγεινόν τ' ἐμοί.
ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
φεῦ φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα; 1040

das, was Medea 1033 f. angiebt, als „Genuſs haben und Freude erleben" (ἀπολαῦσαι, vgl. 1348). Solche Mutterfreuden werden im Folgenden geschildert.

1026 f. λουτρὰ .. γαμηλίους εὐνὰς (lectus genialis) ἀγῆλαι (σεμνῦναι, ἀναθεῖναι, κοσμῆσαι. Hesych.) .. ἀνασχεθεῖν: vgl. Phön. 344 ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις ματέρι μακαρίᾳ· ἀνυμέναια δ' Ἰσμηνὸς ἐκηδεύθη λουτροφόρου χλιδᾶς (sagt Jokaste zu ihrem Sohne Polyneikes, der in der Fremde seine Hochzeit gefeiert), Iph. A. 732 τίς δ' ἀνασχήσει φλόγα; (wenn die Mutter nicht bei der Hochzeit ist), Schol. Apoll. Arg. IV 808 τὸ παλαιὸν τὰς μητέρας τῶν γαμούντων ἐν τοῖς γάμοις δᾳδουχεῖν ἔθος ἦν. Gewöhnlich gilt das von den Fackeln, welche beim Abholen der Braut angezündet wurden und dem Hochzeitszuge aus dem Hause der Braut ins Haus des Bräutigams leuchteten (δαΐδων ὕπο λαμπομενάων Il. 18, 492, vgl. Schol. Eur. Tro. 315 νόμιμον γάρ ἐστι τῇ μητρὶ δᾳδουχεῖν ἐν τοῖς γάμοις τῶν θυγατέρων). Bei Söhnen wie hier muſs von Fackeln die Rede sein, mit welchen das Haus des Bräutigams bei der Ankunft des Zuges erleuchtet war. Vgl. W. A. Bekker Charikles III² S. 306.

1028. δυστάλαινα .. αὐθαδίας: vgl. Hipp. 570 ὢ δυστάλαινα τῶν ἐμῶν παθημάτων, El. 1109 οἴμοι τάλαινα τῶν ἐμῶν βουλευμάτων, oben 97.

1030. Vgl. Tro. 760 μάτην δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις.

1033 f. γηροβοσκήσειν .. περιστελεῖν: vgl. Alk. 662 τοιγὰρ φυτεύων παῖδας οὐκέτ' ἂν φθάνοις, οἳ γηροβοσκήσουσι καὶ θανόντα σε περιστελοῦσι καὶ προθήσονται νεκρόν. Bei den Griechen wurde das Salben, Baden und Ankleiden der Leiche von den nächsten Anverwandten besorgt, nicht wie bei den Römern von einem gemieteten pollinctor. Vgl. W. A. Bekker Charikles III² S. 86.

1035. ζηλωτόν ist als fem. auf μέ, nicht als neutr. auf die Infin. zu beziehen.

1037. ἐμοί scheint hinzugefügt zu sein in Rücksicht auf das Folgende: „ich muſs für mich allein klagen und finde kein Mitgefühl".

1039. ἐς ἄλλο σχῆμα βίου ἀποστάντες doppelsinnig, scheinbar vom Leben im königlichen Hause, in Wirklichkeit vom Leben im Hades. Ebenso nachher πανύστατον.

τί προσγελᾶτε τὸν πανύστατον γέλων;
αἰαῖ· τί δράσω; καρδία γὰρ οἴχεται,
γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
[τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς]. 1045
τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
λυποῦσαν αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
οὐ δῆτ' ἔγωγε. χαιρέτω βουλεύματα.
καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν
ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους; 1050
τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
τὸ καὶ προσέσθαι μαλθακοὺς λόγους φρενί.
χωρεῖτε, παῖδες, εἰς δόμους· ὅτῳ δὲ μὴ
θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
αὐτῷ μελήσει, χεῖρα δ' οὐ διαφθερῶ. 1055
ἆ ἆ.
μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε·

12. δράσω ist Aor. Konj. Vgl. 1275.
15. Die wenig geeignete Er- ung τὰ πρόσθεν läfst den Vers necht erscheinen; ἐμούς kann erklären „weil sie mir ge- ı".
16. Vgl. 817 f.
19. τί πάσχω; (was ist mir?), 879. Mit καίτοι τί φημι ruft Prometheus Äsch. Prom. 101 καρτερία zurück. — γέλωτα: zu 403.
51 f. ἀλλὰ τῆς ἐμῆς κάκης ıande über meine Feigheit"): Alk. 832 ἀλλὰ σοῦ τὸ μὴ φρα- exklamativer Gen., vgl. Krüg. 7, 3, 1). Zu τὸ . . προσέσθαι fr. 439 φεῦ φεῦ, τὸ μὴ τὰ ματ' ἀνθρώποις ἔχειν φωνήν, ισαν μηδὲν οἱ δεινοὶ λέγειν, er I § 55, 1, 6. — προσέσθαι ί d. i. solchen Gedanken nur n zu geben.
53 ff. ὅτῳ: die Worte „wer ; befugt ist an meinem Opfer ınehmen, wird sich das selbst legen sein lassen" enthalten en Chor einen strengen Befehl, er sich nicht unterfange das Vorhaben der Medea zu stören. Damit motiviert der Dichter die spätere Unthätigkeit des Chors 1276 (vgl. zu 1251). — χεῖρα οὐ διαφθερῶ: wie man sagt γνώμην διαφθείρειν „seine gute Meinung ändern und schwach werden" (Äsch. Ag. 923 γνώμην μὲν ἴσθι μὴ δια- φθεροῦντ' ἐμέ, Hipp. 388 ταῦτ' οὖν ἐπειδὴ τυγχάνω προγνοῦσ' ἐγώ, οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ διαφθερεῖν ἔμελλον, ὥστε τοὔμπαλιν πεσεῖν φρενῶν), so heifst hier χεῖρα οὐ διαφθερῶ „ich werde nicht, nach- giebig und schwach werdend, meine Hand sinken lassen" (und von der That abstehen). — θύμασι: sie meint die Schlachtung der Kinder. Übri- gens ist das Frivole der Handlung auf Vasendarstellungen (s. Einl. S. 21) dadurch erhöht, dafs die Kinder an oder auf dem Altare des Hauses gemordet werden.

1056. μὴ δῆτα, θυμέ: vgl. 1242, fr. 924 μή μοι λεπτῶν θίγγανε μύ- θων, μή μοι, ψυχή· τί περισσὰ φρονεῖς; Archiloch. fr. 66 θυμὲ θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε, Theogn. 695 οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἄρμενα πάντα· τέτλαθι,

ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
καὶ μὴ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί με.
μὰ τοὺς παρ' Ἅιδῃ νερτέρους ἀλάστορας,
οὔτοι ποτ' ἔσται τοῦθ' ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
[πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν οἵπερ ἐξεφύσαμεν.]
πάντως πέπρακται ταῦτα κοὐκ ἐκφεύξεται·
καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισι δὲ
νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
[καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι,]
παῖδας προσειπεῖν βούλομαι. δότ', ὦ τέκνα,
δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα. 1
ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι κάρα
καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
εὐδαιμονοίτην ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολή,

877 ἦβα μοι, φίλε θυμέ, 1029 τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς und das Homerische τέτλαθι δή, κραδίη. Zu μὴ σύ γε vgl. Hek. 408 βούλει πεσεῖν πρὸς οὖδας ..; μὴ σύ γ'· οὐ γὰρ ἄξιον, Phön. 531 τί τῆς κακίστης δαιμόνων ἐφίεσαι φιλοτιμίας, παῖ; μὴ σύ γε, Ion 1335. Zu der ganzen Stelle vgl. das Bruchstück der Medea des Neophron oben S. 27 u. den Anhang.

1059. παρ' Ἅιδῃ: vgl. die Redensart κεῖσθαι παρ' Ἅιδῃ Herakl. 145, Soph. O. T. 972. — Über die Art des Schwurs bemerkt der Schol. διὰ οἶκτον τὸν πρὸς τοὺς παῖδας ὅρκῳ φρικωδεστάτῳ ἑαυτὴν κατακλείει.

1062 f. Aus 1240 f.

1064. πέπρακται „ist vollbracht" d. h. „ist so gut wie vollbracht", weil der Entschlufs feststeht, also s. v. a. constitutum est, ἀντὶ τοῦ „κέκριται, εἵμαρται, πέπρωται" Schol. Vgl. Hipp. 680 φεῖ φεῦ, πέπρακται, Asch. Eum. 125 τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά; Herod. IX 110 οὕτω δή τοι, Μάσιστα, πέπρηκται.

1065. ταῦτα ἐκ τοῦ χρόνου ἀ λογιζομένη πρὸς ἑαυτὴν λέγει. Sc καὶ δή, ἤδη, häufig bei Sophol und Herodot.

1068. Dieser Vers pafst nicht dem doppelsinnigen Gedanken „ gedenke den leidenvollsten Weg gehen" (in die Verbannung — Haus zum Morde der Kinder) stört die beabsichtigte Wend um so mehr, als παῖδας προσειπ βούλομαι („Abschied nehmen den Kindern") sich auf die sch bare Bedeutung der Worte „ will in die Verbannung gehen" zieht.

1069. Ennius Med. fr. 13 vete, optima córpora (vgl. 107 cétte manus vestrás measque cípite.

1073. ἀλλ' ἐκεῖ: vgl. 912. — ἐ ἐν Ἅιδου. — εὐδαιμονοίτην: zweite Person des Dual ist Attikern nicht verschieden von dritten, vgl. Alk. 661 ἠλλαξά

1074. ἐν τῷ περιπτύσσεσθαι καταφιλεῖν ταῦτα λέγει. Schol. π βολή, das Andrücken an die B und an den Mund zum Küssen.

ὦ μαλθακὸς χρὼς πνεῦμά θ' ἥδιστον τέκνων. 1075
χωρεῖτε χωρεῖτ'. οὐκέτ' εἰμὶ προσβλέπειν
οἵα τε παῖδας, ἀλλὰ νικῶμαι κακοῖς.
καὶ μανθάνω μὲν οἷα δρασείω κακά,
θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς. 1080

ΧΟ. πολλάκις ἤδη διὰ λεπτοτέρων
μύθων ἔμολον καὶ πρὸς ἁμίλλας
ἦλθον μείζους ἢ χρὴ γενεὰν
θῆλυν ἐρευνᾶν·
ἀλλὰ γὰρ ἔστιν μοῦσα καὶ ἡμῖν 1085
ἣ προσομιλεῖ σοφίας ἕνεκεν,
πάσαισι μὲν οὔ· παῦρον δὲ γένος

Suppl. 1138 φίλιαι προσβολαὶ προσώπων und προσέλκυσθαι Hipp. 1432, Iph. A. 1451.

1076. χωρεῖτε: damit weist Medea die Kinder in das Haus hinein.

1078f. Dieser Gedanke wird von späteren Moralisten mit zwei ähnlichen Aussprüchen des Euripides (fr. 840 und 841) verglichen: λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς, γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται und αἰαῖ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακόν, ὅταν τις εἰδῇ τἀγαθόν, χρῆται δὲ μή, vgl. Hipp. 879 τὰ χρήστ' ἐπιστάμεσθα καὶ γιγνώσκομεν, οὐκ ἐκπονοῦμεν δ', οἱ μὲν ἀργίας ὕπο, οἱ δ' ἡδονὴν προθέντες ἀντὶ τοῦ καλοῦ ἄλλην τινά, Ovid. Met. VII 19 (Medea spricht) gravat invitam nova vis, aliudque cupido, mens aliud suadet. video meliora proboque, deteriora sequor, Senec. Phaedr. 177 quae memoras scio vera esse, sed furor cogit sequi peiora.

1081. Medea bleibt auf der Bühne zurück, um die Nachricht von der Wirkung ihrer Geschenke abzuwarten (1116). ἀποτρέπων ὁ χορὸς τὴν Μήδειαν τῆς τῶν παίδων ἀναιρέσεως διεξέρχεται τοὺς τῆς παιδοποιίας πόνους. Schol. Es ist schwer sich mit einer solchen Motivierung zu befriedigen und das etwas frostige Einschiebsel, das nur die nötige Pause ausfüllt, an seiner Stelle zu finden. — Über die Reflexion vgl. zu 119, zu dem Inhalt fr. 571 ἀμηχανῶ δ' ἔγωγε κοὐκ ἔχω μαθεῖν, εἴτ' οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα θνητοῖσιν, εἴτ' ἄπαιδα καρποῦσθαι βίον κτέ.

1082. διὰ μύθων ἔμολον: vgl. zu 872 und Alk. 962 ἐγὼ καὶ διὰ μούσας καὶ μετάρσιος ᾖξα, καὶ πλείστων ἁψάμενος λόγων κρεῖσσον οὐδὲν Ἀνάγκας ηὗρον. — λεπτός ist die gewöhnliche Bezeichnung für die Subtilität philosophischen Denkens und Erörterns.

1083. ἁμίλλας, studia.

1085. ἀλλά bezieht sich auf den im Vorausgehenden liegenden Gedanken des Ungewöhnlichen („aber ich konnte es doch, denn u. s. w."). ἀλλὰ γάρ verbunden wie Phön. 1308 ἀλλὰ γὰρ Κρέοντα λεύσσω, gewöhnlicher ist die Stellung wie 252, 1301, 1344. — μοῦσα, wissenschaftliche, philosophische Bildung. Vgl. Aristoph. Lys. 1124 ἐγὼ γυνὴ μέν εἰμι, νοῦς δ' ἔνεστί μοι, αὐτὴ δ' ἐμαυτῆς οὐ κακῶς γνώμης ἔχω, τοὺς δ' ἐκ πατρός τε καὶ γεραιτέρων λόγους πολλοὺς ἀκούσασ' οὐ μεμούσωμαι κακῶς.

1087 ff. Statt des einfachen πάσαισι μὲν οὔ, παύρῳ δὲ γένει wird das zweite Glied selbständig gemacht, und es tritt an die Stelle von παύρῳ δὲ γένει γυναικῶν μοῦσα προσομιλεῖ der synonyme Ausdruck

— μίαν ἐν πολλαῖς εὕροις ἂν ἴσως —
οὐκ ἀπόμουσον τὸ γυναικῶν.
καί φημι βροτῶν οἵτινές εἰσιν 1090
πάμπαν ἄπειροι μηδ' ἐφύτευσαν
παῖδας, προφέρειν εἰς εὐτυχίαν
τῶν γειναμένων.
οἱ μὲν ἄτεκνοι δι' ἀπειροσύνην,
εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν 1095
παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
πολλῶν μόχθων ἀπέχονται·
οἷσι δὲ τέκνων ἐστὶν ἐν οἴκοις
γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
κατατρυχομένους τὸν ἅπαντα χρόνον, 1100
πρῶτον μὲν ὅπως θρέψουσι καλῶς
βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
ἔτι δ' ἐκ τούτων εἴτ' ἐπὶ φλαύροις
εἴτ' ἐπὶ χρηστοῖς
μοχθοῦσι, τόδ' ἐστὶν ἄδηλον.
ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη 1105
πᾶσιν κατερῶ θνητοῖσι κακόν·
καὶ δὴ γὰρ ἅλις βίοτόν θ' ηὗρον
σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων
χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσαι,

παῦρον γένος οὐκ ἀπόμουσον (ἐστίν). Wegen der Parenthese ist am Schlusse noch **τὸ (γένος) γυναικῶν** hinzugefügt. — **μίαν ἐν πολλαῖς:** vgl. Herakleid. 327 **παύρων μετ' ἄλλων· ἕνα γὰρ ἐν πολλοῖς ἴσως εὕροις ἄν.** Vielleicht dachte der Dichter an Aspasia.

1090 ff. Anders spricht Andromache Andr. 418 **πᾶσι δ' ἀνθρώποις ἄρ' ἦν ψυχὴ τέκν'· ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει, ἧσσον μὲν ἀλγεῖ, δυστυχῶν δ' εὐδαιμονεῖ** und der Chor Ion 488 **τὸν ἄπαιδα δ' ἀποστυγῶ βίον ᾧ τε δοκεῖ ψέγω. μετὰ δὲ κτεάνων μετρίων βιοτᾶς εὔπαιδος ἐχοίμαν.**

1091. **ἄπειροι, τοῦ φυτεῦσαι παῖδας,** statt dessen ein eigener Satz eintritt. Vgl. 867. Androm. 499 **οὐδὲν μετέχων οὐδ' αἴτιος ὢν (οὐδὲν μετέχων αἰτίας),** Iph. T. 709 **σὺ πολὺν σχήσω χρόνον, τὸν δ' ὅρκον . . ἐμπεδώσομεν,** Äsch. Ag. [illegible], Pers. 103 ff.

1094 ff. **δι' ἀπειροσύνην, οὐ πειρώμενοι εἴτε — εἴτε.** Dem ist **οὐχὶ τυχόντες (αὐτῶν)** untergeordnet.

1099. **γλυκερὸν βλάστημα:** das Epitheton erinnert an das Homerische **ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος;** (Od. 16, 23).

1103. **ἔτι δ' ἐκ τούτων,** „nach allem dem immer noch“.

1105. **τὸ πάντων λοίσθιον,** was zu guter Letzt kommt, um das Maß voll zu machen.

1107. **καὶ δή:** vgl. 386.

1109 f. **εἰ δὲ κυρήσαι, εἰ δὲ τύχη συμβαίη** („wenn es so sein soll“): vgl. fr. 773, 49 **εἰ δὲ τύχα τι τέκοι, βαρὺν βαρεῖα φόβον ἔπεμψεν οἴκοις,**

δαίμων οὗτος φροῦδος ἐς Ἅιδην 1110
[θάνατος προφέρων σώματα τέκνων].
πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
τήνδ' ἔτι λύπην ἀνιαροτάτην
παίδων ἕνεκεν
θνητοῖσι θεοὺς ἐπιβάλλειν; 1115
Ι. φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην
καραδοκῶ τὰ κεῖθεν οἷ 'ποβήσεται.
καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
στείχοντ' ὀπαδῶν· πνεῦμα δ' ἠρεθισμένον
δείκνυσιν ὥς τι καινὸν ἀγγελεῖ κακόν. 1120

ΘΕΡΑΠΩΝ.

Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη,
Μήδεια, φεῦγε φεῦγε, μήτε ναΐαν
λιποῦσ' ἀπήνην μήτ' ὄχον πεδοστιβῆ.
Ι. τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
Ρ. ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη 1125
Κρέων θ' ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
Ι. κάλλιστον εἶπας μῦθον, ἐν δ' εὐεργέταις
τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.
Ρ. τί φῄς; φρονεῖς μὲν ὀρθὰ κοὐ μαίνῃ, γύναι,

. 1006 ἥδιστος γάρ τοι θάνατος θνήσκειν θνήσκουσι φίλοις, εἰ ιων τάδε κραίνοι. — δαίμων . 966) οὗτος, das beschriebene ck.

111. Vgl. den Anhang.

115. ἐπιβάλλειν: vgl. Soph. Trach. ἀνάλγητα γὰρ οὐδ' ὁ πάντα ίνων βασιλεὺς ἐπέβαλε θνατοῖς νίδας.

117. καραδοκῶ τὰ κεῖθεν οἷ 'ποβ. καραδοκῶ ἐκεῖθεν (die Meldung dorther) τὰ ἐκεῖ οἷ ἀποβήσεται, Bakch. 669 φράσω τὰ κεῖθεν, 850 ἔοικε . . ἄγγελος λέξειν τὰ θεν. Krüg. I § 50, 8, 11. Zum gen vgl. Herod. VII 163 καραήσοντα τὴν μάχην τῇ πεσέεται.

119. πνεῦμα δ' ἠρεθισμένον: Shakespeare's Macbeth I 2 lch dringende Hast ihm aus den gen schaut! So muſs der schaun, groſse Dinge meldet".

1121. Vgl. Aristoph. Vö. 1175 ὦ δεινὸν ἔργον καὶ σχέτλιον εἰργασμένος.

1123. λιποῦσα, παραλιποῦσα, ἀφεῖσα: „neque navem tu neque currum sperne, sed quavis effugiendi occasione utere" (Pflugk). — ἀπήνην ναΐαν: vgl. Iph. T. 410 νάιον ὄχημα, Soph. Trach. 656 πολύκωπον ὄχημα ναός, Äsch. Prom. 484 ναυτίλων ὀχήματα. Plaut. Rud. 268 némpe equo lígneo pér vias caérulas éstis vectae? — πεδοστιβῆ in Gegensatz zu ναΐαν, wie πεζός „zu Fuſs gehend" und „zu Lande gehend" bedeutet, vgl. Äsch. Pers. 76 πεζονόμου τ' ἔκ τε θαλάσσας.

1124. ἄξιον φυγῆς: vgl. Or. 1326 τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων, Hel. 782 τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;

1129. μέν: zu 676. — φρονεῖς ὀρθά (das Gegenteil von παρα-

ἥτις τυράννων ἑστίαν ᾐκισμένην 1130
χαίρεις κλύουσα κοὺ φοβῇ τὰ τοιάδε;

ΜΗ. ἔχω τι κἀγὼ τοῖσι σοῖς ἐναντίον
λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος,
λέξον δ' ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως. 1135

ΘΕΡ. ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
σὺν πατρὶ καὶ παρῆλθε νυμφικοὺς δόμους,
ἥσθημεν οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
δμῶες· δι' οἴκων δ' εὐθὺς ἦν πολὺς λόγος
σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν. 1140
κυνεῖ δ' ὃ μέν τις χεῖρ', ὃ δὲ ξανθὸν κάρα
παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
δέσποινα δ' ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα, 1145
πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·

φρονεῖν): vgl. Antiatticista p. 92, 1 εἰς ὀρθὸν φρονεῖν ἀντὶ τοῦ καλῶς φρονεῖν. Σοφοκλῆς Τριπτολέμῳ.

1131. χαίρεις κοὐ φοβῇ κλύουσα τὰ τοιάδε.

1133. μὴ σπέρχου „ereifere dich nicht" (suche für die genaue Erzählung die nötige Ruhe zu gewinnen).

1136. Über die künstlerische Darstellung der folgenden Schilderung auf Sarkophagen und Vasen s. Einleitung S. 19 ff. Vgl. auch die zu 1271 angeführte Stelle des Horaz (an das unsichtbare Feuer, welches bei Corneille Kreon und seine Tochter auf der Bühne verzehrt, kann der Zuschauer nicht glauben). Die Adjektiva δίπτυχος und τρίπτυχος finden sich bei Euripides sehr häufig statt der einfachen Zahlbegriffe: δίπτυχοι τυραννίδες Andr. 472, χεῖρες ebd. 578, νεκροί Hek. 1287, σύγγονοι El. 1238, νεανίαι Iph. T. 242. 474. 1289, ὁδοί Or. 634, φάσγανα ebd. 1303, παῖδες Phön. 1354, τρίπτυχοι τυραννίδες Herakl. 474, λαιμοί Or. 1313, νεκροί Phön. 1635, vgl. zu 204.

1137. παρῆλθε . . δόμους: vgl. 1275, Hipp. 108 χωρεῖτ', ὀπαδοί, καὶ παρελθόντες δόμους σίτων μέλεσθε, Hel. 451 ἔσω πάρειμι, Ion 229 δόμων μὴ πάριτ' εἰς μυχόν, Soph. Ant. 1255 δόμους παραστείχοντα, dazu Soph. O. T. 1241 παρῆλθ' ἔσω θυρῶνος, El. 1337 εἴσω παρέλθετε.

1140. νεῖκος ἐσπεῖσθαι wie σπένδεσθαι εἰρήνην, doch so, daſs εἰρήνην dem Acc. des inneren Objekts um eine Stufe näher steht als νεῖκος.

1141. ὃ μέν τις: vgl. Hek. 624 ὀγκούμεθα ὃ μέν τις ἡμῶν πλουσίοις ἐν δώμασιν, ὃ δ' ἐν πολίταις τίμιος κεκλημένος. Krüg. I § 50, 1, 2.

1143. στέγας γυναικῶν: die γυναικωνῖτις, wie sie im griechischen Hause zur Zeit des Dichters vorhanden war, nicht in der alten Zeit. In σὺν τέκνοις ἅμα sind die Vorstellungen, nach welchen es schon bei Homer bald ἅμα τινί, bald σύν τινι ἕπεσθαι heiſst, verbunden.

1144 f. θαυμάζομεν, verehren. — τέκνων ξυνωρίδα: vgl. Phön. 1085 ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τέκνων, 1618 εὔτεκνος ξυνωρίς und zu Bakch. 198.

1146—1149 enthalten eine treff-

ἔπειτα μέντοι προυκαλύψατ' ὄμματα
λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηίδα,
παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
ὀργάς ἀφῄρει καὶ χόλον νεάνιδος 1150
λέγων τάδ' „οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
παύσῃ δὲ θυμοῦ καὶ πάλιν στρέψεις κάρα,
φίλους νομίζουσ' οὕσπερ ἂν πόσις σέθεν,
δέξῃ δὲ δῶρα καὶ παραιτήσῃ πατρὸς
φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν;“ 1155
ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα, καὶ πρὶν ἐκ δόμων
μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
λαβοῦσα πέπλους ποικίλους ἠμπίσχετο,
χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις 1160
λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων διέρχεται
στέγας, ἁβρῶς τιθεῖσα πάλλευκον πόδα,

Erfindung des Dichters und
›n den Zuschauer mit dem Tod
›lauke aus.
›1. *οὐ μὴ ἔσῃ*: *οὐ μή* cum
o vetantis est, cum subiunctivo
negantis. *Οὐ μὴ γράψεις* igitur
μὴ γράφε aut *μὴ γράψῃς*, *οὐ*
άψῃς vero *οὐ γράψεις* (Elmsley
›ph. O. K. 177). Wie *οὐ γρά-*
(„wirst du nicht schreiben?“)
›Bedeutung eines Gebots hat
›ε), so erhält *οὐ μὴ γράψεις*;
›Bedeutung eines Verbots (*μὴ*
›). Während darum an unserer
› *μὴ* zu *δυσμενὴς ἔσῃ* gehört,
ht sich *οὐ* auch auf *παύσῃ* —
›τήσῃ (*οὐκ εὐμενὴς ἔσῃ καὶ*
›η;), vgl. Bakch. 343 *οὐ μὴ προσ-*
›χεῖρα, βακχεύσεις δ' ἰών; 792
›ὴ φρενώσεις μ', ἀλλὰ δέσμιος
›ν σώσῃ τόδ'; El. 383 *οὐ μὴ*
›νήσετε, τῇ δ' ὁμιλίᾳ βροτοὺς
›τε καὶ τοῖς ἤθεσιν τοὺς εὐ-
›;
›3. *οὕσπερ ἂν* (*νομίζῃ*): die
›e ist einfach, weil nur eine
›e Form des vorher gebrauchten
›ms zu ergänzen ist. Vgl. Hom.
Il. 7, 286 *ἀρχέτω· αὐτὰρ ἐγὼ μάλα πείσομαι ᾗπερ ἂν οὗτος.*

1156. *οὐκ ἠνέσχετο*: „konnte sie nicht widerstehen“.

1158. *πατέρα*, weil Jason mit den Kindern fortgeht und weil die Kinder vor allem dem Sprechenden vorschweben, vgl. 1136 f., Bakch. 1276 *Πενθεὺς* (*παῖς ἐγένετο τῷ ἐμῷ πόσει*) *ἐμῇ τε καὶ πατρὸς κοινωνίᾳ*, El. 916 *κἄγημας αἰσχρῶς μητέρ', ἄνδρα δ' ἔκτανες* (Elektra zu Ägisthos), Iph. T. 567 *ὁ τοῦ θανόντος δ' ἔστι παῖς Ἄργει πατρός*; Hik. 1143 *πάτερ, μῶν σοῦ κλύεις τέκνου γόους*;

1161. *λαμπρῷ κατόπτρῳ*: der Spiegel auf dem Vasengemälde der Sammlung San Angelo (s. Einleitung S. 21) erinnert an diesen Gedanken des Dichters. — *σχηματίζεται*, *ῥυθμίζει* Schol., vgl. Hek. 923 *ἐγὼ δὲ πλόκαμον ἀναδέτοις μίτραισιν ἐρρυθμιζόμαν χρυσέων ἐνόπτρων λεύσσουσ' ἀτέρμονας εἰς αὐγάς.*

1163 ff. Auch eine Peripetie (tragische Ironie).

1164. *ἁβρῶς*: zu 829.

δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις 1165
τένοντ᾽ ἐς ὀρθὸν ὄμμασιν σκοπουμένη.
τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ᾽ ἰδεῖν·
χροιὰν γὰρ ἀλλάξασα λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα καὶ μόλις φθάνει
θρόνοισιν ἐμπεσοῦσα μὴ χαμαὶ πεσεῖν. 1170
καί τις γεραιὰ προσπόλων δόξασά που
ἢ Πανὸς ὀργὰς ἤ τινος θεῶν μολεῖν
ἀνωλόλυξε, πρίν γ᾽ ὁρᾷ διὰ στόμα
χωροῦντα λευκὸν ἀφρὸν ὀμμάτων τ᾽ ἄπο
κόρας στρέφουσαν αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ· 1175
εἶτ᾽ ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
κωκυτόν. εὐθὺς δ᾽ ἡ μὲν εἰς πατρὸς δόμους
ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
φράσουσα νύμφης συμφοράς· ἅπασα δὲ
στέγη πυκνοῖσιν ἐκτύπει δραμήμασιν. 1180
ἤδη δ᾽ ἀνέλκων κῶλον ἐκπλέθρου δρόμου

1166. *τένοντ᾽ ἐς ὀρθὸν ὄμμασιν σκοπουμένη* ea est quae erecto pede i. e. digitis (Zehen) innixa retro spectat quem ad modum illa apud Aristaenetum (I 25): *θαμὰ καὶ τὴν πτέρναν αὐτὴ πρὸς ἑαυτὴν ἐπιστρεφομένη διεσκοπεῖτο* (Pflugk).

1167. Vgl. Bakch. 760 *οὗπερ τὸ δεινὸν ἦν θέαμ᾽ ἰδεῖν, ἄναξ,* Soph. O. T. 1267 *δεινὰ δ᾽ ἦν τἀνθένδ᾽ ὁρᾶν.*

1169. *μόλις φθάνει (τὸ) μὴ χαμαὶ πεσεῖν*: „mit Not wirft sie sich noch auf einen Sitz, bevor sie zu Boden fällt" (Matthiae verbindet *φθάνει* mit *ἐμπεσοῦσα*: *μόλις φθάνει ἐμπεσοῦσα, ὥστε μὴ χαμαὶ πεσεῖν*).

1171 f. *γεραιά* und deshalb abergläubisch. Vgl. Iph. T. 268. — *που* „wohl, vermutlich". — *Πανὸς ὀργάς*: *τοὺς ἐξαίφνης καταπίπτοντας ᾤοντο τὸ παλαιὸν οἱ ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης πεπλῆχθαι τὸν νοῦν* Schol. Vgl. Hipp. 142 *εἴτ᾽ ἐκ Πανὸς εἴθ᾽ Ἑκάτας ἢ σεμνῶν Κορυβάντων φοιτᾷς καὶ ματρὸς ὀρείας* (Kybele).

1173. *ὀλολύζειν* (*ὀλολυγή* 1176) wird von frommen Rufen der Frauen bei Opfern gesagt (Hesych. *ὀλολυγή· φωνὴ γυναικῶν ἣν ποιοῦνται ἐν τοῖς ἱεροῖς εὐχόμεναι*). Die alte Dienerin erhebt Rufe des Gebetes (*μετ᾽ εὐχῆς ἐβόησε* Schol.), um den vermeintlichen Zorn des Gottes abzuwenden. — *πρίν γε* cum indicativo „donec tandem" significat (Elmsley).

1174 f. *ὀμμάτων ἀπὸ κόρας στρέφουσαν* d. i. *ὀμμάτων κόρας ἀποστρέφουσαν*, eine seltene Art der Tmesis (wo die getrennten Wörter zwei Versen angehören). S. den Anhang. Zu *αἷμά τ᾽ οὐκ ἐνὸν χροΐ* vgl. Kykl. 408 *αἷμα δ᾽ οὐκ ἐνὴν χροΐ.* — *ἀντίμολπον ὀλολυγῆς* d. i. *ἐναντίον τῆς ὀλολυγῆς μέλπουσα.* Vgl. zu Iph. T. 179.

1178. Jason wird also zurückgeholt (1158), erscheint aber erst nach dem Abgang des Boten. Nachdem er das entsetzliche Schauspiel angesehen, eilt er zum Hause der Medea (1293), um hier den inzwischen vollzogenen Mord der Kinder zu erfahren.

1179 f. Vgl. El. 802 *πᾶσα δ᾽ ἐκτύπει στέγη.*

1181 f. *ἤδη κτέ.*: *τὸ διάστημα λέγει τὸ γενόμενον αὐτῇ, ἐξ οὗ*

ταχὺς βαδιστὴς τερμόνων ἂν ἥπτετο·
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο.
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο· 1185
χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός,
πέπλοι δὲ λεπτοί, σῶν τέκνων δωρήματα,
λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
φεύγει δ' ἀνᾴξασ' ἐκ θρόνων πυρουμένη, 1190
σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,
ῥῖψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
σύνδεσμα χρυσοῦν εἶχε, πυρὶ δ', ἐπεὶ κόμην
ἔσειε μᾶλλον, δὶς τόσως ἐλάμπετο.
πίτνει δ' ἐς οὖδας συμφορᾷ νικωμένη, 1195
πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν·
οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις

κυδος ἦν μέχρις οὗ ἐφθέγξατο
αοl. Die Sätze ἤδη δ' und ἡ δ'
ἀναύδου sind eng verbunden
ıchon — als"). — ἀνέλκων κῶ-
ʼ: ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα
ιτέστι μεγάλοις καὶ ταχέσι πηδή-
σι χρώμενος Schol. (wir sagen
demselben Sinne „den Fuſs auf-
oend"), vgl. Soph. Ant. 224 τά-
ις ὕπο δύσπνους ἱκάνω κοῦφον
ίρας πόδα. — ἐκπλέθρου δρόμου
ιμόνων d. i. σταδίου τερμόνων.
bei ist das Stadion als Wegmaſs
verstehen, denn βαδιστής kann
ht den Läufer der Rennbahn
e δρομεύς in der ähnlichen Zeit-
stimmung El. 824 θᾶσσον δὲ βύρ-
ν ἐξέδειρεν ἢ δρομεὺς δισσοὺς
ιύλους ἱππίους διήνυσε, sondern
r den Fuſsgänger bezeichnen
in schneller Fuſsgänger konnte
der Zeit rüstig ausschreitend
ι Stadion zurücklegen"). Die
ecke des Stadions zu Olympia
ırde als Einheit des Längenmaſses
nommen. Das Stadion zerfiel in
Plethren zu je 100 Fuſs und be-
ıg ungefähr den sechsten Teil
ıes Kilometer, so daſs ein Zeit-
ım von etwa zwei Minuten ge-
int ist. — ἂν ἥπτετο: vgl. Krü-
r I § 53, 10, 3.

1183. ἀναύδου καὶ μύσαντος ὄμματος, weil der sprachlose Zustand sich in dem geschlossenen Auge zu erkennen giebt.

1187. ἵει νᾶμα παμφάγου πυρὸς könnte von einem Vulkane gesagt sein wie Äsch. Prom. 383 ἐκραγήσονταί ποτε (aus dem Ätna) ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις . . λευροὺς γύας.

1189. λευκὴν σάρκα: das Epitheton λευκήν (weiſs und zart) hebt das Mitleiderregende des Anblicks hervor. Vgl. El. 823 λευκὰς ἐγύμνου σάρκας und zu Iph. T. 312.

1190. ἀνᾴξασα: vgl. Iph. T. 315 ἔμφρων δ' ἀνᾴξας ὁ ξένος πεσήματος.

1193. εἶχε scil. στέφανον. — πυρὶ λάμπεσθαι auch Iph. T. 1155 wie bei Homer.

1194. ἐπεὶ . . μᾶλλον d. i. je mehr sie schüttelte.

1195. πίτνει, sinkt (πίπτει, fällt).

1196. τῷ τεκόντι: der Bote hat das, was nachher 1284 ff. erzählt wird, im Sinne. — δυσμαθὴς ἰδεῖν giebt denselben Sinn wie ἰδόντι δυσμαθής.

1197 f. δῆλος: Euripides liebt den Gebrauch des genus comm. und viele Adjectiva haben bei ihm zwei

οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
ἔσταζε κρατὸς συμπεφυρμένον πυρί,
σάρκες δ' ἀπ' ὀστέων ὥστε πεύκινον δάκρυ 1200
γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέρρεον,
δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ
ἄφνω παρελθὼν δῶμα προσπίτνει νεκρῷ· 1205
ᾤμωξε δ' εὐθύς, καὶ περιπτύξας δέμας
κυνεῖ προσαυδῶν τοιάδ'· „ὦ δύστηνε παῖ,
τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσε;
τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.“ 1210
ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας
προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ, 1215
ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,
σάρκας γεραιὰς ἐσπάρασσ' ἀπ' ὀστέων.
χρόνῳ δ' ἀπέσβη καὶ μεθῆχ' ὁ δύσμορος
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
κεῖνται δὲ νεκροὶ παῖς τε καὶ γέρων πατὴρ 1220

Endungen, die sich sonst immer mit drei finden, vgl. 61, 1375. — *εὐφυές*: „schön wie es von Natur gewesen“.

1200 f. *πεύκινον δάκρυ· πίσσα* Hesych. — *γναθμοῖς*: vgl. die zu 1187 a. St. des Äschylos und Cho. 324 *πυρὸς μαλερὰ γνάθος*. Die *φάρμακα* nagen und zehren wie gefräſsige Tiere (*παμφάγου πυρός* 1187).

1203. *τύχην*: *ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευεν ἡμᾶς καὶ ἀπέτρεπεν* Schol.

1205. *παρελθών*: vgl. 1137.

1206. *περιπτύξας δέμας*: vgl. *περιπτύσσειν γόνυ* Iph. A. 992.

1209. *γέροντα τύμβον*: *ὠμογέροντα, τὸν πλησίον θανάτου ὄντα* Schol., *τυμβογέρων· ἐσχατόγηρως* Hesych., Herakleid. 166 *γέροντος εἵνεκα τύμβου*.

1213. *ὥστε κισσός*: vgl. Hek. 398 *ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι*.

1216. *ἡ δ' ἀντελάζυτο*: die Leiche der Glauke lieſs ihn nicht los, weil er am Gewande festklebte (falsch der Schol. *ἡ δὲ ἀντελαμβάνετο, ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ*). — *ἄγοι* „zog“, vgl. Bakch. 1064 *λαβὼν γὰρ ἐλάτης οὐράνιον ἄκρον κλάδον κατῆγεν ἦγεν ἦγεν εἰς μέλαν πέδον*.

1218. Vgl. Bekk. Anecd. gr. p. 422 *ἀπέσβη· ἐσβέσθη ἢ ἐπαύσατο, τέθνηκεν*. Mehr tritt der bildliche Ausdruck hervor in fragm. 971 *ὁ δ' ἄρτι θάλλων σάρκα διοπετὴς ὅπως ἀστὴρ ἀπέσβη, πνεῦμ' ἀφεὶς εἰς αἰθέρα*.

πέλας, ποθεινὴ δακρύοισι συμφορά.
καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν.
τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἂν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν 1225
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων,
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ. 1230
ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
κακὰ ξυνάπτειν ἐνδίκως Ἰάσονι.
[ὦ τλῆμον, ὥς σου συμφορὰς οἰκτείρομεν,
κόρη Κρέοντος, ἥτις εἰς Ἅιδου πύλας
οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.] 1235
φίλαι, δέδοκται τοὔργον ὡς τάχιστά μοι
παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς

21. πέλας, ἀλλήλοιν. — ποθεινὴ ·ύοισι, ein Unglück den Thränen ınt, wo man nach Herzenslust en kann. Der Ausdruck erinnert as Homerische ὑφ' ἵμερον ὦρσε › und eignet sich für den Diener.
22 f. Der Diener sagt: „Dir will keine guten Ratschläge geben, du fliehen mögest, um der fe zu entgehen (vgl. 1122); daran t du schon selber denken". ἀποστροφήν vgl. Äsch. Prom. ἀποστροφὴ τύχης. — Gerne efsen die Botenerzählungen, he die Katastrophe melden, allgemeinen Betrachtungen. Herakleid. 863, Hel. 1617.
24. Vgl. Pind. Pyth. VIII 135 ιεροι· τί δέ τις; τί δ' οὔ τις; ς ὄναρ ἄνθρωπος, Äsch. Prom. f., Soph. Ai. 125 ὁρῶ γὰρ ἡμᾶς ν ὄντας ἄλλο πλὴν εἴδωλ', περ ζῶμεν, ἢ κούφην σκιάν.
25 ff. Die Worte τοὺς δοκοῦν- (im Rufe stehen) σοφοὺς καὶ μνητὰς λόγων εἶναι scheinen Anspielung auf die Sophisten nthalten, welche als Weltweise Lehrer der Beredsamkeit auf- ›n und kunstvolle Vorträge vor einem gröfseren Zuhörerkreise hielten. — τούτους dient zur nachdrücklichen Aufnahme der Participialkonstruktion wie Isokr. Areop. § 64 δεινὸν ἡγουμένους εἴ τις ὄψεται τὴν πόλιν τὴν τῶν Ἑλλήνων ἄρξασαν ταύτην ὑφ' ἑτέροις οὖσαν u. ö. Krüg. I § 51, 7, 5.

1229 f. εὐτυχέστερος — εὐδαίμων: die Synonymik und Lehre vom Unterschiede der Wörter wurde vornehmlich von dem Sophisten Prodikos, einem Lehrer des Euripides, ausgebildet. Übrigens heifst es Tro. 509 τῶν δ' εὐδαιμόνων μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ. Mit 1230 geht der Diener ab.

1231. Vgl. Phön. 1582 πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις τόδ' ἦμαρ.

1233 ff. Vgl. Einl. S. 26. Durch Beseitigung dieser Verse wird das gewöhnliche Distichon des Chorführers hergestellt.

1236. τοὔργον wird wie τόδε erklärt durch den folgenden Infinitiv, bezieht sich aber mehr auf παῖδας κτανούσῃ als auf ἀφορμᾶσθαι χθονός.

1237 f. κτανούσῃ (μοι) — ἄγουσαν

καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
ἀλλ' εἶ' ὁπλίζου, καρδία· τί μέλλομεν
τὰ δεινὰ κἀναγκαῖα μὴ οὐ πράσσειν κακά;
ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λαβὲ ξίφος,
λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
καὶ μὴ κακισθῇς μηδ' ἀναμνησθῇς τέκνων
ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ' ὅμως
φίλοι τ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

(an den Infinitiv angeschlossen) wie Äsch. Prom. 232 *κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν*, Soph. El. 959 *ᾗ πάρεστι μὲν στένειν . . ἐστερημένῃ, πάρεστι δ' ἀλγεῖν . . ἄλεκτρα γηράσκουσαν.* Maſsgebend für den Wechsel bei dem zweiten Participium war in diesen Beispielen das Versmaſs, in der Stelle des Äsch. das nachfolgende *ἑκόντι*. Vgl. auch Thuk. IV 2 *εἶπον δὲ τούτοις καὶ Κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι* (hier schlieſst sich das Participium enger an den Infin. an) und oben zu 661.

1240 f. Sophistik der Leidenschaft. *πάντως*: vgl. Kykl. 494 *πάντως μέλλει τυφλὸς εἶναι.*

1242. *τί μέλλομεν;* könnte wie Soph. O. K. 1627 im Sinne von *τί μέλλεις;* stehen. Doch da darin etwas Trautes liegt (vgl. Hom. Od. 4, 138 und 632), ist hier die gewöhnliche Auffassung geeigneter.

1243. *τὰ δεινὰ κἀναγκαῖα κακά* d. i. *τὰ δεινὰ κακὰ ἀναγκαῖα ὄντα.* — *μὴ οὐ*: vgl. Äsch. Prom. 654 *τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;* Soph. Ai. 540 *τί δῆτα μέλλει μὴ οὐ παρουσίαν ἔχειν*, Krüger II § 67, 12, 4.

1245. *βαλβὶς κυρίως ἡ τῶι μέων ἄφεσις* Schol. Wegei *πηρὰν* vgl. zu 660. — *ἕρπε* b sich nicht mehr auf *χεὶρ* sondern auf die ganze Perso Alk. 837 *ὦ πολλὰ τλᾶσα καρδι χεὶρ ἐμή, νῦν δεῖξον οἷον π σε . . ἐγείνατ' Ἀλκμήνη Διί.* dagegen die Parodie des A phanes Ach. 485 *ὦ τάλαινα κ ἄπελθ' ἐκεῖσε, κᾆτα τὴν κε ἐκεῖ παράσχες εἰποῦσ' ἅττ' ἂι σοι δοκεῖ.*

1249. *ὅμως* schlieſst sich Satze mit *καὶ εἰ* wie dem cessiven Participium an. V 519 *δειλοὶ γὰρ ἄνδρες οὐκ ἔ ἐν μάχῃ ἀριθμόν, ἀλλ' ἄπειι παρῶσ' ὅμως.* Krüger II 13, 2.

1250. *φίλοι τε — δυστυχὴ* vgl. Phön. 1625 *σοί τ' εὖ κται γόνατα μὴ χρῴζειν ἐμά δὲ ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χ* Diese Unregelmäſsigkeit trit weil statt des beabsichtigten ten Gliedes ein anderes bes teres gewählt wird. So hier in gewöhnlicher Weise *καὶ φιλοῦσ' οὐ παύσομαι*, die dieser bleibenden Liebe ab das Unglück der Medea. – diesen Worten geht Mede Haus, um ihren Racheplı vollenden.

ΧΟΡΟΣ.

Ἰὼ Γᾶ τε καὶ παμφαὴς — stroph. 1.
ἀκτὶς Ἀλίου, κατίδετ' ἴδετε τὰν
οὐλομέναν γυναῖκα, πρὶν φοινίαν
τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
σᾶς γὰρ σπέρμα χρυσέας γονᾶς — 1255
ἔβλαστεν, θεοῦ δ' αἷμα πέδοι πίτνειν
φόβος ὑπ' ἀνέρων.
ἀλλά νιν, ὦ φάος διογενές, κάτειρ-
γε κατάπαυσον, ἔξελ' οἴκων φονῶ-
σαν ἀλαόν τ' Ἐρινὺν ὑπ' ἀλαστόρων. — 1260

ι1. Fünftes Stasimon. Der ruft die Gottheiten Ge und s (vgl. zu 148) an, das ver- e Vorhaben der Medea zu ver- ı, den Helios hier insbesondere ılb, weil die Kinder von ihm nen, also Blut von seinem fliefsen soll. Während der noch den unseligen und wahn- ʒen Plan der Medea beklagt, allen Hilferufe der Kinder aus [nnern des Hauses. Der Chor egt, ob er dem Rufe folgen aber die Frauen fühlen sich männlichen Charakter der a gegenüber zu schwach; zu- hat sich 1053 ff. Medea eine ng von ihrer Seite ernstlich ıten und bedeutet, dafs ein erungsversuch fruchtlos sein ə. Auch ist das Haus ver- ssen (1314 f.). — Die innere he und Angst des Chors spricht in der lebhaften Bewegung Dochmien aus. — Über den :ag vgl. Einleit. S. 30 Anm. 1.

ι2. παμφαὴς ἀκτὶς Ἁλίου: vgl. . Od. 13, 29 ἠέλιον παμφα- τα, Pind. fr. 74, 1 Bö. ἀκτὶς ιν, τί πολύσκοπ'.. ἐμῶν μᾶτερ των κτέ., Soph. Ant. 100 ἀκτὶς ιν .. ἐφάνθης ποτέ. — κατί- ἴδετε: vgl. Hek. 168 ἀπωλέσατ' κτε, Alk. 400 ὑπάκουσον ἄκου- Or. 181 διοιχόμεθ' οἰχόμεθα, ἀνίαχεν ἴαχεν, 1548 ἐπέπεσεν :ν. — Ennius Med. fr. 14 Iúppiter tuque ádeo summe Sól, qui res omnís spicis | quíque tuo cum lúmine mare térram caelum cóntues, | ínspice hoce fácinus, priusquam fíat: prohibessís sce- lus!

1254. χέρ' αὐτοκτόνον: αὐτός in αὐτόχειρ, αὐτοφόντης, αὐτοσφαγής kann sich nicht blofs auf die eigene Person (Selbstmörder), son- dern auch auf das eigene Blut und Geschlecht (Verwandtenmörder) beziehen.

1256 f. θεοῦ αἷμα ὑπ' ἀνέρων (ἀνθρώπων) πέδοι πίτνειν (d. i. vergossen werden) φόβος (s. v. a. δεινόν ἐστι). Vgl. Äsch. Ag. 1004 τὸ δ' ἐπὶ γᾶν πεσὸν ἅπαξ θανάσιμον πρόπαρ ἀνδρὸς μέλαν αἷμα, Cho. 47 πεσόντος αἵματος πέδοι, Eur. Or. 1398 ὅταν αἷμα χυθῇ κατὰ γᾶν. Die epische Form ἄνερες findet sich bei den tragischen Dichtern nur in lyrischen Stellen.

1258. Der Chor fleht Helios an, der Medea in den Arm zu fallen und sie von den Kindern weg- zureifsen.

1260. ἀλαὸν ὑπ' ἀλαστόρων mit gesuchter Etymologie (wenn ἀλαόν richtig ist, s. den Anhang) „die von verblendenden Rachegeistern (ἀλά- στωρ von ἀλαίνω) blind gemacht ist" (d. i. blind ist durch die Leidenschaft der Rache). Vgl. Soph. Ant. 974 ἀλαὸν ἀλαστόροι- σιν ὀμμάτων κύκλοις.

μάταν μόχθος ἔρρει τέκνων· antistr. 1.
μάταν ⟨τοι⟩ γένος φίλιον ἔτεκες, ὦ
κυανεᾶν λιποῦσα Συμπληγάδων
πετρᾶν ἀξενωτάταν εἰσβολάν.
δειλαία, τί σοὶ φρενῶν βαρὺς 1265
χόλος προσπίτνει καὶ ζαμενὴς φόνου
φόνος ἀμείβεται;
χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
σματ' ἐπὶ γαῖαν αὐτοφόνταις συνῳ-
δὰ θεόθεν πίτνει τ' ἐπὶ δόμοις ἄχη. 127

ΠΑΙΣ. οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
ΠΑΙΣ. οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

ΧΟ. ἀκούεις βοὰν ἀκούεις τέκνων; stroph. 2.
ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.
ὦ θερμόβουλον σπλάγχνον * *
* * * * * *
παρέλθω δόμους; ἀρῆξαι φόνον 12
δοκεῖ μοι τέκνοις.

1261. *μάτην ἔρρει*: vgl. 1404, Hek. 335 *οὑμοὶ μὲν λόγοι πρὸς αἰθέρα φροῦδοι μάτην ῥιφθέντες*. — *μόχθος τέκνων* „die Arbeit um die Kinder", vgl. 1029 ff., Hik. 1135 *ποῦ δὲ πόνος ἐμῶν τέκνων, ποῦ λοχευμάτων χάρις τροφαί τε ματρὸς ἄυπνα τ' ὀμμάτων τέλη*, Äsch. Ag. 54 *δεμνιοτήρη πόνον ὀρταλίχων ὀλέσαντες*, Krüg. II § 47, 5, 1.

1265 f. *τί σοι* gehört auch zu *ζαμενὴς φόνος φόνον ἀμείβεται;* „warum wird von dir mit Mord grimmiger Mord gewechselt" d. i. „warum läfst du auf Mord (der Glauke und des Kreon) entsetzlichen Mord (der Kinder) folgen?" Vgl. Or. 1007 *ἀμείβει ἀεὶ θανάτους θανάτων*, das Homerische *γόνυ γουνὸς ἀμείβειν*.

1268 ff. *γάρ* giebt die Begründung zu der in *δειλαία τί* liegenden Abmahnung. Der Gedanke ist folgender: „Denn die Befleckung mit Verwandtenblut ist, ebenso wie den Mördern (*αὐτοφόνταις συνῳδά*), den Menschen über das Land hin (dem ganzen Lande) verderblich und fällt als gottverhängtes Weh auf die Häuser". Wie das Miasma des Mordes das ganze Land ansteckt, lehrt besonders der Oed. Tyr. des Sophokles. Vgl. Phön. 1593 *διὰ τοὺς ἀλάστορας τοὺς σοὺς δεδοικὼς μή τι γῆ πάθῃ κακόν*, Äsch. Sept. 749 *δέδοικα δὲ σὺν βασιλεῦσι μὴ πόλις δαμασθῇ*. Mit *ὁμογενῆ μιάσματα* vgl. *αἷμα συγγενὲς* Hik. 148, fr. 558, *πρὸς Ἐρινύσιν αἷμα σύγγονον ἕξει* Herakl. 1067, *ὅμαιμον αἷμα* (Verwandtenmord) Äsch. Hik. 458.

1271 f. Vgl. Horat. ep. a. Pis. 182 non tamen intus Digna geri promes in scaenam multaque tolles Ex oculis, quae mox narret facundia praesens: Ne pueros coram populo Medea trucidet u. s. w. — *ποῖ — χέρας*: vgl. Phön. 1674 *ποῖ γὰρ ἐκφεύξῃ λέχος*; Iph. T. 1204 *ποῖ δέ σ' ἐκφύγοιεν ἄν*; Herakl. 234 *Ἀτλαντικῶν πέρα φεύγειν δειλίᾳ τοὐμὸν δόρυ*. — Vgl. den Anhang.

1273. Vgl. zu 978.

1275. *παρέλθω*: vgl. Herakl. 1109 *γέροντες, ἔλθω τῶν ἐμῶν κακῶν*

'ΕΣ. ναί, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ·
ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδα-
ρος, ἅτις τέκνων ὃν ἔτεκες 1280
ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.

μίαν δὴ κλύω μίαν τῶν πάρος antistr. 2.
γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
'Ινὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς

Krüg. I § 54, 2, 3. — φόνον : konstruiert wie ἀμύνειν 787 ἐγὼ δ' ἀμύνων θῆρας)μαι πώλοισιν) und τιμωρεῖν, erakleid. 840 οὐκ ἀρήξετ' ν πόλει;
ἤδη γε mit dem Gedanken ός ἐστι μέλλειν. — ἀρκύων weil der Schlag mit dem te den Menschen für immer vgl. Herakl. 729 βρόχοισι δ' κεκλήσεται ξιφηφόροισι, 'ho. 574 νεκρὸν θήσω, ποτεριβαλὼν χαλκεύματι.
ὡς ἄρ' ἦσθα: vgl. Hipp. θεοὶ Πόσειδόν θ', ὡς ἄρ' ιὸς πατὴρ ὀρθῶς, vgl. zu πέτρος ἢ σίδαρος: vgl. 28, 96 πέτρας τὸ λῆμα κἀδάξομεν (für unbeugsamen 1. 16, 33 νηλεές, οὐκ ἄρα πατὴρ ἦν ἱππότα Πηλεὺς έτις μήτηρ· γλαυκὴ δέ σε άλασσα πέτραι τ' ἠλίβατοι, ι νόος ἐστὶν ἀπηνής, σιδήρειόν νύ τοι ἦτορ, Hes. . 239 Εὐρυβίην τ' ἀδάμαντος σὶ θυμὸν ἔχουσαν, Pind. fr. ἢ πόθῳ κυμαίνεται, ἐξ ἀδά- ἢ σιδάρου κεχάλκευται μέκαρδίαν, anderes zu Äsch. 58 σιδηρόφρων τε κἀκ πέτρας ένος, ὅστις σοῖσιν οὐ συνμόχθοις.
ἄροτον: vgl. Or. 552 πατὴρ ιτευσέν με, σὴ δ' ἔτικε παῖς, ἐρμ' ἄρουρα παραλαβοῦσ' τάρα, Tro. 135 τὸν πεντήροτῆρα τέκνων. — αὐτόχειρι vgl. Herakl. 1023 σὺ δὲ . . λυσσάδι συγκατειργάσω

1282. μίαν δὴ κλύω: ebenso weiſs der Chor bei dem Anblick der Schmerzen des Prometheus Asch. Prom. 441 ein einziges Beispiel gleicher Qual zu nennen: μόνον δὲ πρόσθεν ἐν πόνοις δαμέντ' εἰσιδόμαν κτἑ., und Soph. Ant. 823 erinnert sich Antigone der Niobe, welche ein ähnliches Todeslos gefunden: ἤκουσα δὴ λυγροτάταν ὀλέσθαι τὰν Φρυγίαν ξέναν κτἑ.

1284. 'Ινὼ μανεῖσαν: 'Ινὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα ἔρριψεν ἑαυτὴν εἰς τὴν θάλασσαν ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, διότι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος (oder weil Ino und Athamas den Dionysos, den Sohn der Semele, auf Geheiſs des Zeus auferzogen, Apollod. III 4, 3). οἱ μὲν οὖν ἱστόρησαν τῷ παιδὶ συγκατενεχθῆναι τὴν 'Ινὼ εἰς τὴν θάλασσαν (wo sie fortlebten und Ino als Leukothea, Melikertes als Palämon bedrängten Seefahrern freundliche Hilfe gewährte). Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι Schol. Obwohl Euripides selbst in der Tragödie Ino dem gewöhnlichen Mythus folgte (Hygin. fab. 4 Ino Euripidis . . Athamas in venatione per insaniam Learchum maiorem filium suum interfecit, Ino autem cum minore filio Melicerte in mare se deiecit et dea est facta), so kann der Kindermord der Ino nicht von Euripides eigens für diese Stelle erfunden sein. Denn der Dichter kann bei der dramatischen

δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ. 1285
πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
τέκνων δυσσεβεῖ,
ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
δυοῖν τε παίδοιν συνθανοῦσ' ἀπόλλυται.
τί δῆτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν; ὦ 1290
γυναικῶν λέχος πολύπονον,
ὅσα βροτοῖς ἔρεξας ἤδη κακά.

ΙΑΣΩΝ.

Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοῖσδ' ἔτ', ἢ μεθέστηκεν φυγῇ; 1295
δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
[πέποιθ' ἀποκτείνασα κοιράνους χθονὸς
ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;] 1300
ἀλλ' οὐ γὰρ αὐτῆς φροντίδ' ὡς τέκνων ἔχω,

Behandlung eines Mythus sich allerlei Umgestaltungen erlauben, nicht aber für ein bloſses Beispiel und eine vereinzelte Anführung dem Mythus eine ganz andere Wendung geben. Es muſs also eine Bearbeitung der Sage gegeben haben, nach welcher Ino im Wahnsinn, den Hera über sie verhängt, ihre Kinder ermordete und dann aus Verzweiflung sich ins Meer stürzte (wenn φόνῳ τέκνων δυσσεβεῖ 1286 von Verzweiflung und nicht von Bestrafung zu verstehen ist).

1285 f. ἄλῃ vgl. 1295 (φυγῇ), Krüger I § 48, 15, 16. — φόνῳ dat. causae, vgl. ebd. Anm. 5, Ion 940 ἀπαντᾷ δάκρυά μοι τοῖς σοῖς λόγοις, Hel. 79 ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς, El. 148 χέρα κρᾶτ' ἐπὶ κούριμον τιθεμένα θανάτῳ σῷ, Bakch. 1120 μηδὲ ταῖς ἐμαῖς ἁμαρτίαισι σπέρμα σὸν κατακτάνῃς, Hik. 1042 φυλακὰς ἀνῆκα τοῖς παρεστῶσιν κακοῖς.

1292. βροτοῖς ἔρεξας („hast verursacht") verschieden von βροτοὺς ἔρεξας (unmittelbare Einwirkung 1302).

1293—1414 Exodos (Jason und Koryphaios. Medea und Jason). Jason ist von Dienern begleitet (1314).

1296. νιν — σφε: vgl. Phön. 497 ἐμοὶ μέν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν, Soph. Trach. 287 αὐτὸν δ' ἐκεῖνον, εὖτ' ἂν ἁγνὰ θύματα ῥέξῃ . ., φρόνει νιν ὡς ἥξοντα, O. K. 1278 ὡς μή μ' ἄτιμον, τοῦ θεοῦ γε προστάτην, οὕτως ἀφῇ με. Nur ist in diesen Beispielen das Pronomen nach einem Zwischensatze oder einem gleichstehenden Satzgliede wiederholt. Vgl. den Anh.

1297. αἰθέρος βάθος: vgl. Aristoph. Vö. 1715 ἐς βάθος κύκλου, Verg. IV 51, Georg. IV 222 caelum profundum.

1300. αὐτή, weil die Strafe (ἀθῷος) nur auch im Tode bestehen kann („sie muſs selber sterben, wie sie andere getötet").

1301 ff. ἀλλὰ γάρ: vgl. 1085,

κείνην μὲν οὓς ἔδρασεν ἔρξουσιν κακῶς,
ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον. 1305
ὦ τλῆμον, οὐκ οἶσθ' οἷ κακῶν ἐλήλυθας,
Ἴασον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
τί δ' ἔστιν; ἦ που κἄμ' ἀποκτεῖναι θέλει;
παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι. 1310
ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
ποῦ γάρ νιν ἔκτειν'; ἐντὸς ἢ ἔξωθεν δόμων;
πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.
χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
ἐκλύεθ' ἁρμούς, ὡς ἴδω διπλοῦν κακόν, 1315
τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.

— οὓς ἔδρασεν (οὗτοι) ἔρξουσιν
on 648 οὓς ἐγὼ φιλῶ ἐν τοῖσι
εὐτυχήσουσιν λόγοις. — ἐμῶν
ίδων: „um jene kümmere ich
nicht, blofs um meine Kinder
ch besorgt".
4 f. Dem Zuschauer liegt es
bei 1303 an Furcht vor Medea
nken: nun erfährt er, dafs
in gänzlicher Täuschung be-
n ist (tragische Ironie). Darauf
ien sich die Worte des Kory-
s 1307 οὐ γὰρ κτέ. — δράσωσι,
ς. Über den Konj. zu 215. —
οσήκοντες γένει: überhaupt
en Anverwandten ob den Mord
chen und den Thäter zu ver-
1.
9 f. παῖδες σέθεν. — οἴμοι τί
: in dieser formelhaften, wie
eint der Konversationssprache
iörenden Redensart (Hel. 780
φής; τί λέξεις; ὥς μ' ἀπώ-
, γύναι, Hipp. 353 οἴμοι, τί
;, τέκνον; ὥς μ' ἀπώλεσας,
511, 713, 1124, Ion 1113 οἴμοι
ξεις; Phön. 1274 οἴ 'γώ, τί
;;) bezieht sich das Futurum
f, dafs derjenige, der plötz-
ein ungeahntes Unglück ver-
t, im ersten Augenblicke die
richt nicht fassen und ver-
n kann, die volle und ganze
Wahrheit also erst noch zu hören
denkt. Vgl. Soph. Phil. 1238.

1311. ὡς οὐκέτ' ὄντων: „in der Überzeugung dafs (ὡς) deine Kinder nicht mehr sind, führe es dir nunmehr zu Gemüte". Vgl. Soph. Ai. 281 ὡς ὧδ' ἐχόντων τῶνδ' ἐπίστασθαί σε χρή, Thuk. VII 15 ὡς . . καὶ τῶν στρατιωτῶν καὶ τῶν ἡγεμόνων ὑμῖν μὴ μεμπτῶν γεγενημένων οὕτω τὴν γνώμην ἔχετε. Krüger I § 47, 4, 3.

1314. Hipp. 808 χαλᾶτε κλῇθρα, πρόσπολοι, πυλωμάτων, ἐκλύεθ' ἁρμούς, ὡς ἴδω πικρὰν θέαν. Die Diener im Hause, denen Jason zuruft, sollen den Verschlufs der Thüre (κλῇδας) durch Ausheben des durch Krampen (ἁρμοί) festgehaltenen Querbalkens (μοχλοί) beseitigen. Da niemand auf seinen Ruf hört, versucht er die Thüre gewaltsam einzudrücken (1317). Vgl. Or. 1571 μοχλοῖς δ' ἄραρε κλῇθρα, Aristoph. Lys. 310 τοὺς μοχλοὺς χαλῶσιν, Äsch. Cho. 877 πύλας μοχλοῖς χαλᾶτε.

1316. τὴν δὲ τίσωμαι φόνῳ: statt des gewöhnlichen τὴν δὲ φονεύουσαν μέλλουσαν θανεῖν oder τίσουσαν φόνον („die Mörderin, die den Mord mit dem Tode büfsen soll") tritt mit Verlassung der Participial-

ΜΗΔΕΙΑ.

Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
παῦσαι πόνου τοῦδ'. εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
λέγ' εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ. 1320
τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.

ΙΑ. ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος 1325
ἔτλης τεκοῦσα κἄμ' ἄπαιδ' ἀπώλεσας·
καὶ ταῦτα δράσασ' ἥλιόν τε προσβλέπεις
καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς 1330
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
πατρός τε καὶ γῆς προδότιν ἥ σ' ἐθρέψατο·

konstruktion und unter Anschlufs an ὡς ἴδω das ausdrucksvollere τὴν δὲ τίσωμαι φόνῳ ein. Natürlich darf man διπλοῦν κακόν nicht vom Tode der beiden Kinder verstehen (διπλοῦν κακὸν ἢ τὸν θάνατόν φησι τῶν δύο τέκνων ἢ τὴν Μήδειαν Schol.). Jason will die Gemordeten und die Mörderin sehen, jene um sie zu beweinen, diese um sie zu strafen (vgl. 1318).

1317. Medea erscheint in der Höhe (vermittelst des αἰώρημα, einer Hängemaschine) auf einem Wagen (1321) und hat die Leichen der Kinder bei sich (1378 f.). Dem Wagen sind beflügelte Drachen vorgespannt, um die Fortbewegung des Wagens sinnbildlich darzustellen (ἐπὶ ὕψους παραφαίνεται ἡ Μήδεια ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας Schol. Vgl. auch die erste Hypothesis und die oben S. 19 ff. beschriebenen Kunstdarstellungen).

1318. τὴν εἰργασμένην: aus νεκρούς ist φόνον zu ergänzen.

1320. Vgl. Hik. 567 λέγ' εἴ τι βούλει, El. 1049 λέγ', εἴ τι χρήζεις.

1321. τοιόνδε: vgl. 1345 u. zu 718.

1322. ἔρυμα πολεμίας χερός: vgl. das Homerische (Il. 4, 137) μίτρης, ἣν ἐφόρει ἔρυμα χροός, ἕρκος ἀκόντων.

1323. ὦ μῖσος wie Soph. Phil. 991. Vgl. das lateinische scelus. — μέγιστον (Herakleid. 792 μέγιστον εὐκλεεῖς) ἐχθίστη: vgl. Alk. 790 τὴν πλεῖστον ἡδίστην θεῶν Κύπριν, Soph. Phil. 631 τῆς πλεῖστον ἐχθίστης ἐμοὶ .. ἐχίδνης, O. K. 743 εἰ μὴ πλεῖστον ἀνθρώπων ἔφυν κάκιστος.

1326. ἄπαιδ' ἀπώλεσας: statt eines einfachen ἔθηκας wird gleich durch ἀπώλεσας die Folge bezeichnet.

1327. ἥλιον προσβλέπεις: das reine Licht des Helios darf das Miasma nicht schauen. Vgl. zu Iph. T. 1207.

1328. Vgl. 796 τλᾶσ' ἔργον ἀνοσιώτατον.

1332. ἥ σ' ἐθρέψατο: vgl. Phön. 626 τὴν δὲ θρέψασάν με γαῖαν καὶ θεοὺς μαρτύρομαι, 996 προδότην γενέσθαι πατρίδος ἥ μ' ἐγείνατο.

τῶν σῶν ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
τὸ καλλίπρῳρον εἰσέβης Ἀργοῦς σκάφος. 1335
ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ 1340
γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοί,
λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος· 1345
ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
οὐ παῖδας οὓς ἔφυσα κἀξεθρεψάμην
ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσας. 1350

1333. Dieser Vers gehört zu ἐγὼ δὲ νῦν φρονῶ: „jetzt weifs ich, was ich damals nicht wufste: den Rachegeist der Deinen (d. h. den Fluch der Deinen) haben die Götter auf mich gestürzt". Vgl. Phön. 1556 σὸς (Οἰδίπου) ἀλάστωρ ξίφεσιν βρίθων καὶ πυρὶ καὶ σχετλίαισι μάχαις ἐπὶ παῖδας ἔβα σούς, 1593 διὰ τοὺς ἀλάστορας τοὺς σοὺς δεδοικὼς μή τι γῆ πάθῃ κακόν. Soph. O. K. 787 ἀλλὰ σοὶ τάδ' ἔστ', ἐκεῖ χώρας ἀλάστωρ οὑμὸς ἐνναίων ἀεί. Zu dem Gedanken vergleiche das oben S. 20 f. beschriebene Gemälde der Vase von Canosa.

1334. παρέστιον: παρὰ τὴν ἑστίαν Schol. Vgl. Schol. Apoll. Rhod. IV 228 Φερεκύδης ἐν ἑβδόμῳ φησὶ διωκομένους ἀναβιβάσαι ἐπὶ τὴν ναῦν τὸν Ἄψυρτον καὶ μελίσαντας ῥῖψαι εἰς τὸν ποταμόν· Σοφοκλῆς δὲ ἐν Κολχίσι φησὶ κατὰ τὸν οἶκον τοῦ Αἰήτου τὸν παῖδα σφαγῆναι.

1336 f. νυμφευθεῖσα παρά im Sinne von κλιθεῖσα παρά. — παρ' ἀνδρὶ τῷδε, ἐμοί, wie hic homo.

1340. ὧν, weil vorher eine Mehrheit von griechischen Frauen vorschwebt.

1341 f. Während κῆδος Apposition zum ganzen Satze ist, gehört λέαιναν zu σε. — τῆς Τυρσηνίδος: τῆς Σικελικῆς· Τυρσηνὸν γὰρ πέλαγος Σικελίας· ἐκ τούτων δὲ φανερός ἐστιν Εὐριπίδης τὴν τοῦ Ὀδυσσέως πλάνην περὶ τὴν Ἰταλίαν καὶ Σικελίαν ὑπειληφὼς γεγονέναι Schol. Vgl. Or. 1555 δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ, Äsch. Ag. 1231 τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν; ἀμφίσβαιναν ἢ Σκύλλαν τινὰ οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην;

1348 f. οὔτε — οὐ, wodurch das zweite Glied in lebhafter Steigerung hervortritt, wie Iph. T. 354, Tro. 934, fr. 324, Or. 41, 1086 (μήτε — μή), Herakl. 643, Or. 46 (μήτε — μὴ — μήτε), Äsch. Pro. 466 f., 495 f., Cho. 290 f., Soph. Ant. 249, O. K. 972, Herodot VIII 98 τοὺς οὔτε νιφετός, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει. — νεογάμων: vgl. zu 204.

1350. ἀλλ' ἀπώλεσας (vgl. 1338): dem Relativsatz schliefst sich wie

ΜΗ. μακρὰν ἂν ἐξέτεινα τοῖσδ' ἐναντίον
λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο
οἷ' ἐξ ἐμοῦ πέπονθας οἷά τ' εἰργάσω·
σὺ δ' οὐκ ἔμελλες τἄμ' ἀτιμάσας λέχη
τερπνὸν διάξειν βίοτον ἐγγελῶν ἐμοὶ 1355
οὐδ' ἡ τύραννος, οὐδ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων, ἄτιμον τῆσδέ μ' ἐκβαλὼν χθονός.
πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει
καὶ Σκύλλαν ἣ Τυρσηνὸν ᾤκησεν πέδον·
τῆς σῆς γὰρ ὡς χρὴ καρδίας ἀνθηψάμην. 1360

ΙΑ. καὐτή γε λυπῇ καὶ κακῶν κοινωνὸς εἶ.

ΜΗ. σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.

ΙΑ. ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε.

ΜΗ. ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ.

ΙΑ. οὔτοι νυν ἡμὴ δεξιά σφ' ἀπώλεσεν. 1365

ΜΗ. ἀλλ' ὕβρις οἵ τε σοὶ νεοδμῆτες γάμοι.

ΙΑ. λέχους σφέ γ' ἠξίωσας εἵνεκα κτανεῖν;

ΜΗ. σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;

häufig ein selbständiger Satz an. Krüger I § 59, 2, 6.

1351 ff. *μακρὰν ἂν ἐξέτεινα*: vgl. Äsch. Ag. 907 *μακρὰν γὰρ ἐξέτεινας*. — *πέπονθας . . εἰργάσω*: vgl. 488.

1355. *ἐγγελῶν*: vgl. 403, 1049, 1362.

1356. *προσθεὶς γάμους* wie *μνηστεύματα προσθείς* Phön. 581.

1357. *ἄτιμον*: vgl. 438 *ἄτιμος ἐλαύνῃ*, Phön. 627, 1761, Bakch. 1313 *ἐκ δόμων ἄτιμος ἐκβεβλήσομαι*, Soph. O. T. 670 *γῆς ἄτιμον τῆσδ' ἀπωσθῆναι*, Phil. 1028 *ἄτιμον ἔβαλον*.

1358. *πρὸς ταῦτα* „darauf hin thue was du willst", wird häufig gebraucht, um auszudrücken, daſs alles Thun und Machen an einer Thatsache oder einem Entschlusse nichts zu ändern vermöge, vgl. Phön. 521 *πρὸς ταῦτ' ἴτω μὲν πῦρ, ἴτω δὲ φάσγανα, ζεύγνυσθε δ' ἵππους, πεδία πίμπλαθ' ἁρμάτων, ὡς οὐ παρήσω τῷδ' ἐμὴν τυραννίδα* und zu Äsch. Prom. 1024. Vgl. Soph. El. 605 *τοῦδέ γ' εἵνεκα κήρυσσέ μ' εἰς ἅπαντας εἴτε χρῇς κακὴν εἴτε στόμαργον εἴτ' ἀναιδείας πλέαν*.

1359. *πέδον* ist wahrscheinlich verschrieben für *σπέος* (in einer Handschrift steht die Glosse *σπήλαιον*) oder *πέτραν*, vgl. die zu 1341 f. angeführte Stelle des Äschylos.

1360. *ὡς χρή* „comme il faut". — *ἀνθηψάμην*: zu 55.

1362. *λύει ἄλγος*: der Schol. betrachtet wohl mit Recht *ἄλγος* als Nom. (*λυσιτελεῖ δὲ τὸ ἄλγος*), vgl. 566; Porson nimmt es als Accus. (minuit, levat dolorem), vgl. fr. 573 *ἀλγηδόνας δὲ ταῦτα (ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί) κουφίζει φρενῶν καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους*.

1366. *ὕβρις οἵ τε σοὶ γάμοι* d. i. *ἡ σὴ ὕβρις οἵ τε σοὶ γάμοι*, vgl. Soph. O. K. 1399 *οἴμοι κελεύθου τῆς τ' ἐμῆς δυσπραξίας*, Äsch. Prom. 474.

1367. *λέχους σφέ γε* s. v. a. *λέχους γέ σφε* („um deiner Lust willen"). — *ἠξίωσας* d. h. „war dir so viel wert, sie drum zu morden".

1368. Vgl. 265 f.

ΙΑ.	ἥτις γε σώφρων· σοῦ δὲ πάντ' ἐστὶν κακά.	
ΜΗ.	οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.	1370
ΙΑ.	οἵδ' εἰσὶν ὠμοὶ σῷ κάρᾳ μιάστορες.	
ΜΗ.	ἴσασιν ὅστις ἦρξε πημονῆς θεοί.	
ΙΑ.	ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.	
ΜΗ.	στύγει· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.	
ΙΑ.	καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.	1375
ΜΗ.	πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.	
ΙΑ.	θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.	
ΜΗ.	οὐ δῆτ', ἐπεὶ σφᾶς τῇδ' ἐγὼ θάψω χερί,	
	φέρουσ' ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ,	
	ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,	1380
	τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου	

1369. σοῦ . . κακά, an dir ist alles schlecht d. i. von einer Tugend (σωφροσύνη) ist bei dir keine Rede.

1370. Vgl. 817.

1371 f. ὠμοὶ μιάστορες, ἀλάστορες: vgl. Äsch. Pers. 913 ὡς ὠμοφρόνως δαίμων ἐνέβη Περσῶν γενεᾷ, Soph. Ai. 516 ὠμὴ μοῖρα, O. T. 828 ἀπ' ὠμοῦ δαίμονος. — ἦρξε: vgl. zu 165.

1374 f. στύγει, ἀπόπτυε entspricht dem vorausgehenden ἀπόπτυστον: „drücke immerhin deinen Abscheu aus; dein gehässiges Gerede ist mir widerwärtig und macht auf mich keinen Eindruck". Medea wendet den Gedanken anders: „Auch mich widert deine Rede an und ich bin froh, wenn ich deine Stimme nicht mehr hören mufs". Insofern ist die Erklärung des Schol. βάξιν νῦν εἴρηκε τὴν ὁμιλίαν richtig. — ῥᾴδιοι: zu 1197.

1376. πῶς οὖν; τί δράσω; wie πῶς οὖν; τί δράσεις; Hipp. 598, Hek 876. Medea besinnt sich, was noch vorher zu thun sei (1379 ff.). — θέλω, ἀπαλλαγῆναί σου.

1379. ἐς Ἥρας τέμενος Ἀκραίας θεοῦ: ἀκραῖοι θεοί hiefsen die Götter der Akropolis (Poll. IX 40). Die gewöhnliche Sage, nach welcher sich die Kinder der Medea in das Heiligtum der Ἀκραία Ἥρα flüchteten und dort am Altare von den Korinthiern ermordet wurden (Schol. zu 273), hat der Dichter dahin geändert, dafs er die Kinder dort bestattet sein läfst. Eine ähnliche Sage lag bereits in der Erzählung des Eumelos vor, vgl. Einleitung S. 4. Nach Paus. II 3, 6 gab es in Korinth über der Quelle der Glauke neben dem Odeion ein Grabdenkmal für die Kinder der Medea. Elmsley versteht unter Ἥρας τέμενος das Heräon auf dem Vorgebirge der Hera an der Landspitze, welche Sikyon gegenüber in das Korinthische Meer vorspringt (Xen. Hell. V 5, 5, Strabo p. 380 und Liv. 32, 23 promunturium est adversus Sicyonem Iunonis quam vocant Acraiam), weil das Folgende auf eine Grabstätte aufserhalb der Korinthischen Markung hinweise. Aber den Schutz gewährt die Heiligkeit des Ortes und es wäre eine nähere Bestimmung nötig, wenn nicht das in Korinth selbst liegende und aus der Sage bekannte Heiligtum gemeint wäre. Zudem steht die im Folgenden erwähnte Festfeier mit dem Heiligtum in Korinth in Verbindung.

1381 ff. Σισύφου: vgl. Einleitung S. 5. — σεμνὴν ἑορτήν: Ἥραια πένθιμος ἑορτὴ παρὰ Κορινθίοις (Schol.), eingesetzt zur Sühne für die Ermordung der Kinder der Medea am Altare der Hera Akraia. Sieben Knaben und sieben Mädchen

σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομαι
τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
σὺ δ', ὥσπερ εἰκός, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
πικρὰς τελευτὰς τῶν ἐμῶν γάμων ἰδών.

ΙΑ. ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων
φονία τε Δίκη.

aus den vornehmsten Häusern wurden der Hera geweiht und mufsten ein Jahr in ihrem Tempel bleiben. Dieses Trauerfest bestand bis zur Zerstörung Korinths durch die Römer (Paus. II 3, 7). Vgl. Einleitung S. 5. Solche Kultusstiftungen finden wir auch in dem Schlufs der Iph. T. 1449 und Hipp. 1423 (*ἀντὶ τῶνδε τῶν κακῶν τιμὰς μεγίστας ἐν πόλει Τροιζηνίᾳ δώσω κτἑ.*). Ihre Erwähnung dient dazu, das Gemüt des Zuschauers mit den Leiden Unschuldiger (der Kinder der Medea, der Iphigenie, des Hippolytos) zu versöhnen. Die Stiftung des Festes würde geeigneter von einer Gottheit z. B. von der Hera selbst ausgehen. Allein *προσάψομαι . . ἀντὶ τοῦδε δυσσεβοῦς φόνου* kann auch von dem blofsen Anlafs verstanden werden, welchen der Kindermord zur Stiftung des Sühnfestes gegeben. „Aufserdem dafs solche Vermittlungen zwischen neuen Annahmen der Poesie und alten Sagen oder Gebräuchen überhaupt Nebendinge und nicht haarscharf zu untersuchen sind, so liegt es in der Natur der Sache, dafs die Korinthier einen Frevel, der durch die von ihrem König beschlossene, gegen Medea ungerechte Verheiratung seiner Tochter mit Jason herbeigeführt war, sühnen mufsten" (Welcker Gr. Trag. S. 633). Das Medium *προσάψομαι* von der Handlung, welche auf Veranlassung der Medea für sie geschieht. In *δυσσεβοῦς*, womit Medea immerhin ihre eigene That bezeichnen kann

(vgl. 796, 1243ff.), liegt der G
welcher die Sühne fordert.
1385. *συνοικήσουσα*: vgl. Einl
1386—1388. Diese Verse s
nicht in Widerspruch mit
Worten 1396 *μένε καὶ*
(„warte nur das Alter ab, v
deine Verlassenheit erst recht f
wirst"); denn Jason kann im s
Greisenalter von einem Stüc
Argo erschlagen werden: *τὸ*
στόλιον γὰρ τῆς Ἀργοῦς ἀνέ
Ἰάσων τῇ Ἥρᾳ· ποτὲ δὲ εἰσ
αὐτοῦ εἰς τὸ ἱερὸν πεσὸν ἀ
αὐτόν. λειψάνῳ οὖν φησὶ
τινὶ τῆς Ἀργοῦς. ἄλλως ἱστο
ὁ Ἰάσων τέλει τοιούτῳ χρήσα
κοιμώμενον γὰρ αὐτὸν ὑπὸ
Ἀργὼ κατασαπεῖσαν ὑπὸ π
χρόνου μέρος τι ταύτης ἐκ
κατὰ τῆς κεφαλῆς ἔκρουσεν
Vgl. dazu die erste Hypothesi
dem liebt es Euripides die
tigen Schicksale seiner Helden
Prophezeiungen von Göttern
Sehern verkünden zu lassen
prophezeit Polymestor am End
Hekabe wie ein deus ex ma
die zukünftigen Schicksale
Hekabe und des Agamemnon
lehrt von Dionysos, der den
kern Seher ist" (1267). Da M
von Helios stammt, kann ih
Kenntnis der Zukunft wie
göttlichen Wesen beigelegt w
Auch in der vierten Pyth. Od
Pindar weissagt sie die Grü
von Kyrene.
1389. *ἀλλὰ σέ*: im Gegensa
angegebenen Todesart des
1390. *φονία Δίκη*: die Gere

ΜΗ.	*τίς δὲ κλύει σου θεὸς ἢ δαίμων,*	
	τοῦ ψευδόρκου καὶ ξειναπάτου;	
ΙΑ.	*φεῦ φεῦ, μυσαρὰ καὶ παιδολέτορ.*	
ΜΗ.	*στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.*	
ΙΑ.	*στείχω, δισσῶν γ' ἄμορος τέκνων.*	1395
ΜΗ.	*οὔπω θρηνεῖς· μένε καὶ γῆρας.*	
ΙΑ.	*ὦ τέκνα φίλτατα. ΜΗ. μητρί γε, σοὶ δ' οὔ.*	
ΙΑ.	*κἄπειτ' ἔκανες; ΜΗ. σέ γε πημαίνουσ'.*	
ΙΑ.	*ὤμοι φιλίου χρῄζω στόματος*	
	παίδων ὁ τάλας προσπτύξασθαι.	1400
ΜΗ.	*νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,*	
	τότ' ἀπωσάμενος. ΙΑ. δός μοι πρὸς θεῶν	
	μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.	
ΜΗ.	*οὐκ ἔστι· μάτην ἔπος ἔρριπται.*	
ΙΑ.	*Ζεῦ, τάδ' ἀκούεις ὡς ἀπελαυνόμεθ'*	1405
	οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς	
	καὶ παιδοφόνου τῆσδε λεαίνης;	
	ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,	
	τάδε καὶ θρηνῶ κἀπιθεάζω,	
	μαρτυρόμενος δαίμονας ὥς μοι	1410
	τέκν' ἀποκτείνασ' ἀποκωλύεις	
	ψαῦσαί τε χεροῖν θάψαι τε νεκρούς,	

keit, welche Sühne für Mord verlangt.

1392. *ψευδόρκου*: vgl. Hom. Il. 7, 351 *ὅρκια πιστὰ ψευσάμενοι.* — *ξειναπάτου*: „der (mich) die Fremde betrogen" (ein Frevel gegen den *Ζεὺς ξένιος*). Vgl. 801, fr. 667 *τίς ἄνδρα τιμᾷ ξεναπάτην;*

